DICCIONARIO

GRIEGO-ESPAÑOL

CSIC

III d.C. **Porphyrius Tyrius** philosophus (Porph.)

Boer, E. y Weinstock, S., «Introductio in Tetrabiblum Ptolemai», *Cat.Cod.Astr.* 5.4, Bruselas 1940, pp. 187-253.

*in Ptol.* = *in Ptolemaei Tetrabiblon*.

Boer- Weinstock 1940.pdf

© Juan Rodriguez Somolinos, PabloA. García Pastor, 2006



CATALOGUS CODICUM ASTROLOGORUM GRAECORUM

# CODICUM ROMANORUM

PARTEM QUARTAM

DESCRIPSIT

STEPHANUS WEINSTOCK

INST[illegible]
CLASS
10
COLOC.
Porphyrius - 1[illegible]

ACCEDIT PORPHYRII PHILOSOPHI
INTRODUCTIO IN TETRABIBLUM PTOLEMAEI
AB AEMILIA BOER ET STEPHANO WEINSTOCK EDITA

SUMPTIBUS R. ACADEMIAE BELGICAE

TOMI V PARS IV

BRUXELLIS
IN AEDIBUS ACADEMIAE
1940

Boer - Weinstock 1940. PDF

DOE: Porph. in Ptol.

R. 29.631

# PORPHYRII PHILOSOPHI

## INTRODVCTIO IN TETRABIBLVM PTOLEMAEI

edita ab

Aemilia Boer et Stephano Weinstock

# PORPHYRII PHILOSOPHI

## Introductio in Tetrabiblum Ptolemaei

In Porphyrii operibus maxime variis (cf. indicem apud I. Bidez, *Vie de Porphyre*, p. 65* ss.) Suidas, *s.v.*, enumerat haec quoque: ... *καὶ ἄλλα πλεῖστα, καὶ μάλιστα ἀστρονομούμενα· ἐν οἷς καὶ Εἰσαγωγὴν ἀστρονομουμένων ἐν βιβλίοις τρισί* ... Utrum *Introductio* quam codices sub Porphyrii nomine servaverunt, eadem ac haec *Εἰσαγωγή* fuerit, an unum ex scriptis summatim commemoratis, licet incertum sit, certissimus tamen testis studiorum eius astronomicorum est Suidas. Sed duo haec testimonia non persuaserunt eis, qui opus astrologicum a Porphyrio abiudicaverunt, scilicet indignum philosopho atque discipulo Plotini (cf. Fabricius-Harles, IV, p. 160; E. Zeller, *Philosophie der Griechen*, III, 2⁴, p. 731, 8). Qui iam eis locis ad astrologiam spectantibus refellerentur, quos ex ceteris scriptis Porphyrii collegit F. Boll, *Studien über Claudius Ptolemaeus*, *Neue Jahrbücher. Suppl.* XXI, 1894, p. 114 (cf. etiam E. Zeller, *l.c.*, p. 723 s., 731 s.), si revera quaestio esset, quae ratio intercederet inter doctrinam neoplatonicam et astrologiam; attamen Porphyrius non id egit, ut hoc opere traderet ea quae ipse excogitavit, sed quae alii ante eum senserunt, imprimis A n t i o c h u s Atheniensis (vel fortasse Ascalonites), cuius *Εἰσαγωγικά* (cf. Boll, *Catal.*, I, p. 140 ss.; Cumont, *Catal.*, VIII, 3, p. 111 ss.) Porphyrius, ut demonstravit Cumont (*Mélanges Bidez*, 1933, p. 135 ss.), magnam partem ad verbum fere exscripsit, quamquam non nisi semel eum laudavit (infra, p. 210, 6). Praeterea idem opus (vel potius formam eius integram, v. infra) sub Porphyrii nomine saeculo p. Chr. n. quarto legit et exscripsit H e p h a e s t i o Thebanus, atque ante Demophili sive Theophili aetatem scholiis instruxit vir quidam doctus v[illegible]s *λέγει ὁ φιλόσοφος* Porphyrium significans (v. infra, p. 194, n. 1), [illegible]culo denique nono vel decimo doctrinam eius vituperavit L e o [illegible]losophus (... *ταύτῃ τῇ ἁμαρτίᾳ καὶ ὁ Πορφύριος ἑάλω κτλ.*: *Catal.*, I, p. 139 = VIII, 2, p. 72 app. crit.). Quae cum ita sint, vix est quod dubitemus, quin Porphyrius philosophus ipse Introductionem in astrologiam composuerit.

At contra persuadere mihi non potui codices integrum opus continere (cf. etiam Boll, *Sphaera*, p. 7, 2). Hephaestio enim, qui Porphyrium passim ad verbum exscripsit (cf. e.g. infra, c. 29 et Heph., I, 17), non solum codicibus nostris pleniorem doctrinam praebet, sed etiam caput Porphyrii laudat deperditum *περὶ χρόνων ζωῆς*, ni fallor (II, 10: *Catal.*, VI, p. 72 = VIII, 2, p. 63), quod scholiasta

quoque, infra p. 215, n. 1, se legisse testatur; tum ex alia parte
deperdita, operis sumpsit Hephaestio quae affert in capite περὶ
τύχης ἀξιωματικῆς (II, 18 : *Catal.*, VIII, 2, p. 82, 14; an his He-
phaestionis testimoniis alia quoque e codice Vindob. phil. gr. 108 =
Astrol. 1, addi possint, nescio): iterum ad alia spectant verba, quae
supra e Leone philosopho posuimus. Eadem opus ipsum nos docet.
Pleno enim commentario inserta sunt non solum capitula brevissima,
quae nihil nisi definitiones astrologicas continent, sed etiam cap. 50
paraphrasim esse capitis 44 ab excerptore confectam verba ὑπέτα-
ξεν (p. 223, 2) et ὑποτάξω (p. 223, 9) demonstrant, nam hoc ex-
cerptorem, illud Porphyrium (scil. in c. 44) significant; accidit prae-
terea, ut ad capitula delegemur, quae frustra quaerimus (p. 207, 28;
220, 10; 228, 8; 222, 23). Ex quo efficitur, ut servata sint nobis
excerpta magnam partem nimis decurtata, atque opus ipsum, ut fit,
perierit, nempe post Leonis philosophi aetatem. De excerptore si
codices consulimus, videmus scholium D e m o p h i l i sive T h e o-
p h i l i (infra, p. 206, 1) omnibus codicibus, excepto uno Monacensi,
insertum esse; codicem tamen illum Monacensem, licet hoc scholium
omittat, eundem textum atque ceteros praebere. Recensionem igitur
decurtatam Porphyrii ante Theophilum (si hunc Demophilo, de quo
nihil constat, inferiorem fuisse aetate conicis) factam esse necesse est.

Hic textus decurtatus in circiter 30 codicibus exstat (de quibus
rationem nunc reddere debemus), quos omnes examinavit, maximam
partem nostrum in usum etiam contulit Aemilia Boer. Sed cum
videremus omnes praeter Monacensem ad eundem archetypum re-
ferendos esse, satis habuimus e magna copia tres codices eligere,
duos huius classis vetustissimos, Laurentianum 28, 20, saec. XIV
(cf. *Catal.*, I, p. 3 s., nr. 3), et Marcianum 314, saec. XIV (cf. *Catal.*,
II, p. 2, nr. 3), atque Monacensem 419, saec. XIV in. (cf. *Catal.*, VII,
p. 25 s., nr. 10; usus sum imagine quoque phototypica horum trium
codicum, quam nobis petentibus benevole miserunt Bibliothecarum
Laurentianae, Marcianae, Monacensis praefecti). Hic Monacensis
unicus est codex alterius classis, minus inquinatus scholiis (sed cf.
p. 194; 203; 224), cuius varias lectiones ceteris, quoad fieri potuit,
praetulimus, e quo etiam lacunas quasdam ceterorum omnium (in
cc. 2; 3; 43; 49) supplevimus; in altero eorum capitum, quae ille
omisit (44-45), adhibuimus etiam excerptum codicis Scorialensis II.
Ψ. 17, saec. XV (cf. *Catal.*, XI, 2, p. 33; ed. Zuretti, ibid., p. 109 ss.)
et Barocciani Oxon. 94, f. 111v, saec. XV (contuli), qui ex alio
archetypo descripti esse videntur atque ceteri. Praesto erant nobis
praeterea in cc. 47-52 variae lectiones codicis Laurentiani 28, 34,
Syntagmatis illius vetustissimi, quas Boll, *Catal.*, I, p. 149 ss. publi-
ci iuris fecit (quae cum semper fere cum Monacensi conspirent, pre-
tium huius codicis augent) (1). Cetera tamen florilegia quae omisso

(1) Si lectiones nonnumquam reddidimus pleniores et correctiores,
eas omnes Aloysiae Banti debemus, quae prona in nos voluntate
codicem iterum inspexit.

auctoris nomine nonnulla e Porphyrio servaverunt, neglegimus, cum librarii aevi Byzantini multa decurtavissent auxissent transformavissent. — Magno denique usui erant excerpta Rhetorii ex Antiocho et Hephaestio, qui, ut supra diximus, cum Porphyrio artissime cohaerent.

Editionem principem et unicam paravit Hieronymus Wolf anno 1559, codice ut videtur Monacensi 59, saec. XVI (*Catal.*, VII, p. 4, nr. 2) usus, codice deterioris classis nimis mendoso atque lacunoso, cuius menda et erroribus typographi et incuria editoris aucta sunt (¹); specimen editionis novae (cc. 44-45) dedit Cumont, *Mélanges Bidez*, 1933, p. 149 ss.

His siglis usi sumus : S (= Monacensis) ; D (= Laurentianus 28,20) ; M (= Marcianus) ; L (= Laurentianus 28,34) ; H (= Scorialensis) ; B (= Baroccianus) ; paginas editionis Wolfianae in margine notavimus.

---

(1) Editioni praemittuntur haec (p. 180) : « Typographus Lectori S. — Duo hi libelli sequentes, Isagoge Porphyrii et collecta ex Demophilo scholia, quantum interpreti negocii facesserit propter pessimam et depravatissimam scripturam : is demum vere indicabit, qui codicem Graecum, quo utendum fuit, inspexerit. Etsi autem loci aliquot sunt, quos ille se propter ignotos characteres plane ignorare fatetur : tamen cum Vergilium non piguerit ex Ennianis stercoribus gemmas colligere, ipse quoque hanc molestiam devorare non recusavit, ut Astrologiae studiosi, Veterum Graecorum de locis quibusdam nunc controversis iudicium cognoscerent. Tuum erit candide Lector, eam operam (qualiscunque est) aut boni consulere, aut navare meliorem. Vale. »

## ΠΟΡΦΥΡΙΟΥ ΦΙΛΟΣΟΦΟΥ

Wolf 181

### Εἰσαγωγὴ εἰς τὴν Ἀποτελεσματικὴν τοῦ Πτολεμαίου.

### 1. Προοίμιον.

Ἐπειδὴ τὰ περὶ τῆς συγκρατικῆς θεωρίας τῶν οὐρανίων σωμάτων καὶ τὰ ἐξ αὐτῆς τετηρημένα τῶν ἀποτελεσμάτων εἴδη ὁλοσχερῶς ὁ Πτολεμαῖος διείληφε συνεσκιασμένην μέντοι καὶ ἀσυμφανῆ τῇ παλαιᾷ τῶν ὀνομάτων χρήσει τὴν φράσιν ἐκθέμενος, ἀναγκαῖον ᾠήθην προδιαστεῖλαι τὰ εἰς τὴν κατάληψιν αὐτῆς συντείνοντα σαφηνείας ἕνεκεν· καὶ τὰ μὲν ἐπ' ἐνίων τόπων ἐναργῶς ὑπὸ τοῦ Πτολεμαίου ῥηθέντα παρατρέχειν ἐπὶ τοῦ παρόντος πονήματος προσῆκον ἂν εἴη ἅτε φανερὰν ἐχόντων τὴν δήλωσιν, τὰ δὲ κεφαλαιωδῶς ἅμα καὶ ἀσαφῶς ῥηθέντα εὔδηλα παραστῆσαι κατὰ τὸ ἐγχωροῦν πρόσφορον ἡμῖν δοκεῖ πεφυκέναι. αὐτίκα τοίνυν μέμνηται μαρτυρίας καὶ δορυφορίας καὶ καθυπερτερήσεως καὶ ἐπικρατήσεως καὶ τῶν ἐφεξῆς ἡμῖν ὑποτεθησομένων, ἅτινα, ὑπ' αὐτοῦ τὸ παράπαν μὴ δεδειγμένα, ἐπαπορούμενα ἔσται τῷ προσιόντι ταῖς ἐφόδοις τῶν προτελέσεων. διὸ συντόμως ἅμα καὶ εὐκρινῶς τοῖς προγενεστέροις ἑπόμενοι τήνδε τὴν εἰσαγωγὴν καιρίως ἐκτιθέμεθα ὀφείλουσαν εἶναι καὶ τοῖς λόγων ἀμυήτοις εὐσύνοπτον.

### 2. Περὶ τῶν ἀπὸ τοῦ Ἡλίου καὶ τῆς Σελήνης καὶ τῶν ἀστέρων ἐν ταῖς παρόδοις γινομένων ἐπισημασιῶν.

Ὁ Ἥλιος τοίνυν καθάπερ τις κράτιστος βασιλεὺς ἐν τοῖς με-

---

1-4 tit. om. S  2 τὴν om. M  3 τοῦ om. M  8-9 ἐκτιθέμενος DM  11 ῥηθέντα S : λεχθέντα DM  15 καί[2] om. S  18 προιόντι D  22 tit. om. S  23 ταῖς scr. : τοῖς DM  25 cf. Rhetor. *Catal.*, VIII, 3, p. 113, 19 ; Cumont, *La théologie solaire.... Mémoires prés. par divers savants à l'Acad. des*

τεώροις ἄστρασι τέτακται τὰ περὶ τὸν ἀέρα καὶ τὴν γῆν συνιστάμενα προφανῶς ῥυθμίζων καὶ κοσμῶν καὶ διατάττων. οἱ δὲ λοιποὶ ἀστέρες ἐλαχίστης κρατοῦντες μεταβολῆς ἐν ταῖς πρὸς αὐτὸν συνοικειώσεσι συνεργοῦσιν ἢ ἀποσυνεργοῦσιν. εἰκότως οὖν ἐξετάζειν τὰς ὥρας προσαγορεύεται, ἐπειδὴ κατὰ τὴν οἰκείαν λόξωσιν ἔαρ τε καὶ θέρος καὶ φθινόπωρον καὶ χειμῶνα δημιουργεῖ καὶ τῶν ἐν ταῖς ὥραις ἀποτελουμένων θάλπους καὶ ψύχους, προσέτι δὲ καὶ ἀνέμων ὁλοσχερῶς τυγχάνει παραίτιος. κοσμεῖν δὲ καὶ ζωοποιεῖν ὁ Ἥλιος δείκνυται τὴν ἄκοσμον καὶ ζωῆς ἀμέτοχον ὕλην δι' ἀλήκτου γενέσεως, ἐπεὶ τῶν τελειοτέρων ζῴων τὸ σπέρμα καὶ τὸ καταμήνιον ὑποκειμένου λόγον ἔχει, ὁμοίως δὲ καὶ ἡ ἀπὸ 182
τῆς ἡλιακῆς θερμασίας γινομένη τῆς γῆς ἰλὺς καὶ ἡ ἐν τοῖς ὕδασι τῶν ζῴων γονή, ἅτινα τῇ ἐκ τῶν φώτων αὐτοῦ διηκούσῃ ζωτικῇ καὶ κοσμητικῇ δυνάμει τεταγμέναις περιόδοις εἰδοποιεῖ· οὐ μήν, ἀλλὰ καὶ τὰ σπέρματα εὐκαίρως εἰς τὴν γῆν κρυπτόμενα πρὸς τὸ βλαστάνειν οἰκείως διακοσμεῖ. διατάττει δὲ πάλιν ὁ Ἥλιος τὰς πράξεις πάσας ὡρισμένοις καιροῖς, ἀμέλει γεωργούς τε καὶ ναυτιλλομένους καὶ τὰ φυτὰ σὺν τοῖς ζῴοις διατίθησιν. ἀλλὰ τοὺς μὲν γεωργοὺς καὶ τοὺς ναυτιλλομένους τὰς σχέσεις τῶν πλανωμένων ἀστέρων καὶ ἀπλανῶν πρὸς αὐτὸν εἰς ἀσφάλειαν παρατηρεῖν ἐποδήγησε, τὰ δ' ἄλογα ζῷα ἐν χειμῶνι μὲν εἰς ἀλεεινὰς οἰκήσεις καὶ νηνεμίαν ἐχούσας παρασκευάζει διατρίβειν, ἐν θέρει δὲ τὰς εὐπνουστέρους καὶ εὐύδρους χώρας μετέρχεσθαι. καὶ τὰ φυτὰ δὲ ἀκόλουθον ἔχει τάξιν τῇ ἡλιακῇ πορείᾳ· κατὰ γὰρ τοὺς αὐτοὺς καιροὺς τὰ τερπνὰ καὶ καλόπνοα ἄνθη προβάλλουσι καὶ βλαστοὺς παρεκτείνουσι καὶ καρποὺς παντοδαποὺς δωροφοροῦντα διατελοῦσι.

Ἡ δὲ Σελήνη τῶν ὅλων ἄστρων περιγειοτάτη ὑπάρχουσα καὶ ταῖς αὐτῶν ἀπορροίαις ἐν τοῖς σχηματισμοῖς κιρναμένη τῷ τε μεγέθει τῶν φώτων τῶν ἐξ αὐτῶν εἰς τὰ τῇδε διικνουμένων τὰ δεύτερα φέρει τῆς πρὸς Ἥλιον ἐνεργείας καὶ ὥσπερ βασιλὶς

---

*inscr.*, XII, 1909, p. 453 ; *Revue de philol.*, XLII, 1918, p. 75 s.

7 ταῖς om. DM  8 ss. cf. *Comm. Anon. in Tetrab.*, p. 5 ; Man. Comn. *Catal.*, V, 1, p. 109, 26 ss. ; Cumont, *l. c.*, p. 462.

10 τελειοτέρων D  16 s. τ. πρ. π. ὁ Ἥ. DM  18 ζῳδίοις M  20-21 ἐπωδήγησε SDM  21 ἄλογα S : ἄλλα DM  23 ἐνύδρους DM  28 ἡ δὲ (Σ. om.) S : Σ. δὲ DM  30 φώτων] καὶ add. DM  31 βασιλὶς] cf. Cumont, *Théologie solaire*, *l.c.*, p. 468, 3

ἰσχυροτάτη ἐν τῷ κόσμῳ τῶν οὐρανίων τετύπωται ἀναλόγως Ἡλίῳ ῥυθμίζουσα τὰς ὥσπερ ὥρας ἤτοι τὰς τέσσαρας τοῦ μηνὸς ἑβδομάδας. τοῦ γὰρ Ἡλίου τὸν ζῳδιακὸν ἐν ὁλοκλήρῳ διατρέχοντος ἔτει ἡ Σελήνη ἐξ αὐτοῦ φωτιζομένη καὶ τὸ δρᾶν προσλαμβάνουσα ἀπὸ συνόδου ἐπὶ σύνοδον φέρεται ἐν ἡμέραις κθ∠′ ἔγγιστα καὶ πλείστην ἐμφαίνει συγγένειαν πρὸς τὰς τέσσαρας τοῦ ἔτους τροπάς· ἀπὸ μὲν τῆς ἀνατολῆς μέχρι τῆς πρώτης διχοτόμου τῷ ἦρι, ἐντεῦθεν δὲ μέχρι πανσελήνου τῷ θέρει, ἀπὸ πανσελήνου δὲ μέχρι δευτέρας διχοτόμου τῷ φθινοπώρῳ, εἶτ' ἐφεξῆς μέχρι κρύψεως τῷ χειμῶνι. κοσμεῖ δὲ οὐ γένεσιν καθ' αὑτὴν συνιστῶσα, ἀλλὰ τελοῦσα παραπλήσιον· πληροῖ γὰρ τὰ ὑπ' αὐτὴν καὶ πεπαίνει καὶ συναυξάνει καὶ συμμειοῖ. μαρτυρεῖ δὲ τοῖς εἰρημένοις τὰ θαλάττια ζῷα, καρκίνοι, ἀστακοὶ καὶ ἐχῖνοι καὶ τὰ τούτοις ὁμοφυῆ ὀστρακόδερμα δηλαδὴ συναυξόμενα τῇ Σελήνῃ καὶ συμμειούμενα. πάλιν δὲ καὶ τὰ φυτὰ σὺν τοῖς καρποῖς καὶ τοῖς σπέρμασι παχύνει καὶ πεπαίνει τῇ πλείστῃ διανομῇ τῆς ὑγρότητος συγκιρναμένῃ καὶ βραχείᾳ θερμότητι, ἐφεξῆς δὲ καὶ τὸ τάττειν τὰ ὑποκείμενα τὴν Σελήνην ἐκ τῶν κατὰ φύσιν συμβαινόντων ἀποδειχθήσεται. ταῖς γυναιξὶ γοῦν τὰς ἐν ταῖς ἀφέδροις καθάρσεις μηνιαίῳ χρόνῳ κατὰ τὸ πλεῖστον παραφυλάττει. καὶ οἱ ποταμοὶ δὲ καὶ αἱ πηγαὶ καὶ οἱ εὔριποι συναυξανόμενοι ὄντως καὶ συγκενούμενοι ὥσπερ ἄνωθεν νόμῳ αὐτοῖς διατάττοντι τῇ τῆς Σελήνης αὐξομειώσει συντρέπονται. φάσεις δὲ αὕτη ποιεῖται πρὸς τὸν Ἥλιον ζ′· μηνοειδὴς μέν, ὅταν ξ′ μοίρας ἀπέχῃ ἡ Σε- 183

5 ἐπὶ S : εἰς DM 10 H. Wolf in textum recepit tabellam hanc, quae in inferiore margine DM (om. S) omniumque fere codicum recentiorum invenitur (cf. Ptol., *Tetrab.*, I, 8) :

| | | | | |
|---|---|---|---|---|
| Ἥλιος | ἔαρ | θέρος | φθινόπωρον | χειμών |
| Σελήνη | διχότομος α′ | πανσέληνος | διχότομος β′ | κρύψις |
| | ὑγρόν | θερμόν | ξηρόν | ψυχρόν. |

11 τὸ παραπλ. DM 11 ss. cf. Lucil. 1201 M. ; Manil. II, 93 s. ; Hor., *Sat.*, II, 4, 30 ; Plin., *N. H.*, II, 109 ; Sext. *Adv. math.*, IX, 79 ; Aelian., *Nat. anim.*, IX, 6 ; Gell., XX, 8, 3 ; Lyd., *De ost.*, 7 ; Man. Comn., *l.c.* ; Apomas., *Catal.*, VIII, 1, p. 178 s. ; Roscher, *Myth. Lex.* II, p. 3152 ; Gundel, *Realencycl.*, XVI, p. 105. αὐτὴν S : αὐτῶν DM 14 ὁμοφυῆ scripsi (cf. Aelian., l. c.) : ἐμφερῆ SDM 21 εὔρ. D (-ππ-) : εὐρ. MS (-ππ-) 22 ν. ἄ. DM cf. *Catal.*, V, 1, p. 110, 12 23 συντρέπεται DM cf. Bouché-Leclercq, *Astrol. gr.*, p. 92, 4 24 μοιρῶν D ἀφέξῃ S : ἀφέξει DM ἡ Σ. om. S

*λήνη τοῦ Ἡλίου εἰς τὰ ἑπόμενα, διχότομος δέ, ὅταν ἀπέχῃ μοίρας ϙ', ἀμφίκυρτος δέ, ἐὰν μοίρας ρκ', πανσέληνος δὲ εἴσω μοιρῶν ρπ', ἀμφίκυρτος δὲ δευτέρα κατὰ μείωσιν τοῦ φωτός, ὅταν τοῦ Ἡλίου ἡ διάστασις αὐτῆς προηγῆται μοίρας ρκ', δευτέρα δὲ διχότομος, ὅταν ἀπέχῃ μοίρας ϙ', μηνοειδὴς δέ, ἐὰν μοίρας ξ'. πληρώσασα δὲ ταῦτα τὰ σχήματα ὑπὸ τὰς αὐγὰς φέρεται τοῦ Ἡλίου ἐπὶ τὴν καλουμένην σύνοδον καὶ ὑποσημαίνει τὸ περιέχον τοῦ ἀέρος κατάστημα. πᾶσα γὰρ ἐπισημασία πρὸς τὸν Ἥλιον γίνεται, ὡς ἂν ἑκάστῳ τῶν ἐπισήμων ἀστέρων πελάζῃ.*

*Τούτων δ' οὕτως προδιασταλέντων ἀκόλουθόν ἐστι διελθεῖν τάς τε τῶν πλανωμένων εὐσήμους ἐπιτολὰς καὶ τὰς τῶν ἀπλανῶν πρὸς αὐτοὺς ἰδιοτρόπους συνοικειώσεις, ἐπειδήπερ αἱ μὲν τῶν πλανωμένων ἑῷαι ἀνατολαὶ καὶ οἱ στηριγμοὶ καὶ οὐχ ἥκιστα αἱ μέγισται τῶν φωστήρων ἐκλείψεις σὺν ταῖς πρὸς διάμετρον γινομέναις συνόδοις ἢ πανσελήνοις, τοῖς τε τροπικοῖς καὶ ἰσημερινοῖς σημείοις ἔτι δὲ καὶ τὰ τυχόντα τῶν οὐρανίων ἐπὶ τῆς ἐκτροπῆς διαθέματα, ἐξ ὧν ἡμῖν ἡ ὅλη διάκρισις ἀναφέρεται, χρησιμώτατα τυγχάνουσιν ἐκ τῆς τῶν ζῳδίων φυσικῆς συμπαθείας, ἐν οἷς οἱ ἐπίσημοι <ἀστέρες> ταῖς παρόδοις καταλαμβάνονται, πρὸς ἔνδειξιν τῶν διατιθεμένων οἰκήσεων καὶ μορφώσεων. ἐκ δὲ τῆς τῶν ἀστέρων ποιότητος καὶ τῆς πρὸς τοὺς ἄλλους συγκρατικῆς μετουσίας ἡ πρόγνωσις ἡμῖν ἐγγίνεται τῶν μελλόντων ἀγαθῶν ἢ φαύλων συμβήσεσθαι, πρὸς τούτοις δὲ καὶ τοῦ πολυσχιδοῦς συγκρίματος τῶν γενέσεων. οὗτοι δὲ πάντες ἑῷοι μὲν ἐπιτέλλουσιν, ὅταν ἀπὸ συνόδου ἐπὶ τὰ προηγούμενα τοῦ Ἡλίου πλέον ἢ ἔλασσον μοιρῶν ιε' ἀφίστανται. ἰδίως δὲ ὁ τοῦ Κρόνου καὶ ὁ τοῦ Διὸς καὶ ὁ τοῦ Ἄρεως ἑῷοι μὲν ὄντες, ἀποστάντες δὲ περὶ μοίρας ρκ' τὸν πρῶτον στηριγμὸν ποιοῦνται ὑποποδίζοντες, ἐν δὲ τῷ ς' ζῳδίῳ παραγενόμενοι ἔτι μᾶλλον ἀναποδίζοντες ἐπ' ἀκρόνυχον φέρονται κατὰ διάμετρον τῷ Ἡλίῳ σχηματιζόμενοι καὶ ἅμα τῇ δύσει αὐτοῦ κατ' ἀρχὰς τῆς νυκτὸς ἀνατέλλοντες · ἀπὸ τῆς ἀκρονύκτου δ' ὡσαύτως τοῖς ἀριθμοῖς ἀφαιροῦντες καὶ ἐπὶ τὸ ἑπόμενον τρίγωνον τοῦ Ἡλίου ἐληλυ-*

---

2 *μοίραις* (utrumque) D 7 *ἐπὶ* S : *ὑπὸ* DM 10 *οὕτω διαστ.* DM 15 *τῶν τε τροπικῶν καὶ ἰσημερινῶν σημείων* SDM 17 *χρησιμώτατοι* SDM 18-19 suppl. 20 an *οἰκειώσεων*? *δὲ* om. DM 23 *πολυσχεδοῦς* D 25 *ἡγούμενα* DM *ἔλαττον* DM 25-26 *ἀφέστηκε ιε'* DM cf. Bouché-Leclercq, p. 120 s. 28-29 *ἐν - ἀναποδ.* om. DM

θότες τὸν δεύτερον ποιοῦνται στηριγμόν· αὖθις τοῖς ἀριθμοῖς προστιθέντες καὶ καταντήσαντες εἰς τὴν ἐπαναφορὰν τοῦ Ἡλίου καὶ τὴν ἑσπερίαν ποιησάμενοι δύσιν ἐπὶ σύνοδον ἀφικνοῦνται. 184 σύνοδος γὰρ κυρίως ἐστίν, ὅταν κατὰ τὸ αὐτὸ ζῴδιον ἰσόμοιροι τύχωσι τῷ Ἡλίῳ μὴ ἀπέχοντες αὐτοῦ πλέον ἢ ἔλασσον λεπτῶν νθ'. μόνος δὲ ὁ τοῦ Πυρόεντος ἀστὴρ καὶ ἕτερα δύο σχήματα ποιεῖται πρὸς τὸν Ἥλιον, ἅτινα εἰώθασιν ἀνωμαλίαν καλεῖν οἱ περὶ ταῦτα ἐπιμελέστεροι· καὶ τὴν μὲν πρώτην ἀνωμαλίαν ποιεῖται, ὅταν ἑῷος ὑπάρχων προηγῆται τοῦ Ἡλίου μοίρας πβ' ἢ ϛ', τὴν δὲ δευτέραν ἐπὶ τῆς ἑσπερίας δύσεως, ὅταν τὴν αὐτὴν διάστασιν ὁ ἀστὴρ ἀπέχῃ πρὸς Ἥλιον. ἀεὶ δὲ οὗτοι, ὡς δέδεικται, ἔλαττον τοῦ Ἡλίου διανύουσι κίνημα.

Ὁ δὲ τῆς Ἀφροδίτης καὶ ὁ τοῦ Ἑρμοῦ τὰ ἀλλοιοῦντα τὸν βίον τῶν ἀνθρώπων καὶ τὰ ἐπὶ γῆς διὰ τῆς πρὸς Ἥλιον σχέσεως ποτὲ μὲν πλέον, ποτὲ δὲ ἔλαττον τὸ ἡμερήσιον διανύουσι δρόμημα. ὅθεν καὶ διττὰς φάσεις ποιοῦνται πρὸς Ἥλιον, ἑῴαν μὲν ἀνατολήν, ὅταν αὐτοῦ προαναφέρωνται ἢ ἐπαναφέρωνται πλέον ἢ ἔλαττον μοιρῶν ιε' (1), ἑσπερίαν δὲ ἀνατολήν, ὅταν ἑπόμενοι ἢ προηγούμενοι ἧττον τῶν ιε' μοιρῶν ἢ περαιτέρω ἐπαναφέρωνται. ἐντὸς δὲ τῶν εἰρημένων διαστάσεων τετυχηκότες ἐν ταῖς προαναφερομέναις τὴν ἑῴαν δύσιν ἐπιτελοῦσιν, ἐν δὲ ταῖς ἀναφερομέναις τὴν ἑσπερίαν δύσιν. στηρίζει δὲ ὁ μὲν τῆς Ἀφροδίτης ἀπέχων ἔγγιστα πρὸς τὸν Ἥλιον μοίρας μζ', ὁ δὲ τοῦ Ἑρμοῦ

---

4 γὰρ S : δὲ DM    6 πυρρ. D    σχ. δύο DM
7 τὸν om. DM    9 προηγεῖται DM    11 ἀφέξει SDM    13 ὁ (alt.) om. D    18-19 μοιρῶν - τῶν om. D

---

(1) Hic posuimus verba scholiastae (ut iam H. Wolf vidit), quae in omnibus libris finem faciunt capitis 3 (post διάμετρον): Τὸ ἑξῆς αὐτοῦ τῶν ιε' μοιρῶν προαναφέρονται· τὸ προαναφέρονται ἢ ἐπαναφέρονται οὐ πρὸς τὸν Ἥλιον ἀκουστέον, ἀκόλουθον γάρ, ἀλλὰ πρὸς τὰς ιε' μοίρας. καὶ γὰρ ἡ Ἀφροδίτη δύναται προηγουμένη τοῦ Ἡλίου ἑσπερία φαίνεσθαι καὶ ἑπομένη ἑῴα. προποδίζειν λέγει ὁ φιλόσοφος τὴν εἰς τὰ ἑπόμενα κίνησιν ποιεῖσθαι, ὑποποδίζειν δὲ τὴν εἰς τὰ προηγούμενα μεταβατικῶς κινεῖσθαι σημαίνει. ὑποποδισμὸς ἡ ἀφαίρεσις κατὰ μῆκος, ὅπερ προήγησις καλεῖται.

---

2 post μοιρ. προαν.] Περὶ τοῦ προαναφερομένου add. S    5 Τί τὸ προποδίζειν καὶ ὑποποδίζειν add. S    cf. Bouché-Leclercq, p. 117,1    ὁ φιλ. scil. Porphyrius

*περὶ μοίρας κγ'. ἀλλ' ἐπὶ μὲν τὰ ἑπόμενα τὸν πρῶτον στηριγμὸν ἀφαιρετικὸν ὄντα ἐπιτελοῦσιν, ἐπὶ τὰ ἡγούμενα δὲ τὸν δεύτερον προποδίζοντες. ἰστέον μέντοι καθόλου, ὅτι ἅπαντες οἱ ἀστέρες ἀεὶ τὴν εἰς τὰ ἑπόμενα ποιοῦνται μετάβασιν. ἡ δὲ κατὰ τὴν αὐτὴν μοῖραν φαινομένη τῶν πλανωμένων μονὴ ἀπάτη τῆς ὄψεως πέφυκεν. οἱ δὲ τῶν ἀπλανῶν ἀστέρων ἐπίσημοι, ὡς τῷ Πτολεμαίῳ δοκεῖ, τῇ συγκρατικῇ σχέσει πρὸς τοὺς πλανωμένους συνοικειούμενοι ταῖς τούτων φύσεσιν ἀναλόγως διατιθέασιν ἐν τοῖς καθολικοῖς τε τῶν κλιμάτων συμπτώμασι καὶ τοῖς μερικοῖς ἰδιώμασι τῆς γενέσεως συνοικοδεσπόται γενόμενοι.*

### 3. Περὶ ὧν οἱ ἀστέρες ἐν τῷ βάθει ποιοῦνται ἀπογείων καὶ περιγείων σχηματισμῶν.

*Χρὴ γινώσκειν τὸν γνησίως προθέμενον ἀνιχνεύειν τὰς τῶν ἀποτελεσμάτων τετηρημένας ἐπιβολάς, ὅτι ἐν τῷ βάθει τῶν ζῳδίων οἱ πλανῆται σχήματα ποιοῦνται τέσσαρα. τὸ μὲν πρῶτον ὅταν ἀπὸ τῆς ἀνωτάτω ἀψῖδος εἰς τὴν μέσην κατέλθωσιν ἐξ ὕψους ταπεινούμενοι. τὸ δὲ δεύτερον, ὅταν ἐκ τῆς μέσης εἰς τὴν χθα-* 185
*μαλὴν ἀψῖδα κατέρχωνται ἐπὶ τὸ περίγειον νεύοντες. τὸ δὲ τρίτον, ἐπὰν ἐκ τῆς κάτω ἐπὶ τὴν μέσην πάλιν ἀνέλθωσιν ἐκ τῆς περιγείου ὑψούμενοι. τὸ δὲ τέταρτον, ὅταν ἐκ τῆς μέσης εἰς τὴν ἀνωτάτην ἀνέρχωνται ἐπὶ τὸ ἀπόγειον ἀφικνούμενοι. κατιόντες μὲν γὰρ οἱ ἀστέρες ἐκ τῆς ὑψηλοτάτης ἀψῖδος συνοδικοὶ πρὸς Ἥλιον γενόμενοι προποδίζειν ἄρχονται. ἀπὸ δὲ τῆς μέσης κατιόντες ἀψῖδος τὸν πρῶτον ποιούμενοι στηριγμὸν ἐπὶ τὴν ἀκρόνυχον ἔρχονται, ἀπὸ δὲ τῆς περιγείου ὑψούμενοι τὴν ἀκρόνυκτον ποιησάμενοι φάσιν ἄρχονται ὑποποδίζειν καὶ ἐπὶ τὸν δεύτερον ἔρχεσθαι στηριγμόν, ἀπὸ δὲ τῆς μέσης ἀψῖδος ἐπὶ τὸ ἀπογειότατον ἀνιόντες τὸν δεύτερον ποιούμενοι στηριγμὸν καὶ τὴν εἰς τὰ ἑπόμενα μετάβασιν μεγίστην ἐπὶ σύνοδον πορεύονται πρὸς τὸν Ἥλιον διάμετρον.*

---

2 ἀποτελοῦσιν S 3 ss. nonnulla omissa videntur 7 *Tetrab.*, II, 9, 3 s. 9 τε SM : περὶ D 11-12 Περὶ τῶν ἐν τῷ βάθει τῶν ζῳδίων τεσσάρων σχημάτων τῶν πλανωμένων S cf. Rhet., *Catal.*, VIII, 3, p. 112, 30. 16 ἀψῖδος SD (et sic deinceps) 20-21 ἀνωτάτω DM 21 ἀνέρχονται M τὸ S : τὴν DM ὑπόγειον M 22 γὰρ om. DM 27-28 ἀπὸ - στηριγμὸν om. DM 28-29 μεγ. μετ. DM 30 post διάμετρον : τὸ ἑξῆς - καλεῖται SDM : scholion del., v. supra p. 194, 1.

4. *Περὶ ἡμερινῶν καὶ νυκτερινῶν ἀστέρων.*

*Ἡμερινοὺς ἀστέρας ὅταν εἴπωσι, σημαίνουσι Κρόνον καὶ Δία τῆς Ἡλίου αἱρέσεως αὐτοὺς εἶναι λέγοντες, ἐπεὶ οὐ πολλὰς δύσεις ποιοῦνται, οὐδὲ σχήματα· χαίρουσι γὰρ ἡμέρας χρηματίζοντες καὶ ἡμερινῶν οἴκοις. ὅταν δὲ νυκτερινοὺς ἀστέρας εἴπωσιν, Ἄρη λέγουσιν καὶ Ἀφροδίτην τῆς σεληνιακῆς αἱρέσεως αὐτοὺς εἶναι τιθέντες· πολύσχημοί τε γάρ εἰσι καὶ πολλάκις ὑπὸ δύσιν ἐρχόμενοι καὶ ἐπισκοτούμενοι. τὸν μέντοι γε τοῦ Ἑρμοῦ ἐπίκοινον λέγουσιν· ᾧ γὰρ ἂν σχήματι παρατυγχάνοι, τούτῳ οἰκειοῦται, ἑῷος μὲν τῷ Ἡλίῳ, τῇ δὲ Σελήνῃ ἑσπέριος.*

5. *Περὶ οἴκων οἵτινες καὶ ζῶναι τῶν ἀστέρων προσαγορεύονται.* 186

*Οἴκους ἀστέρων καὶ ζώνας λέγουσι τὰ ιβʹ τοῦ ζῳδιακοῦ δωδεκατημόρια, ἃ καὶ ζῴδια καλοῦσι. τούτων τὰ μὲν βορειότερα καὶ ἡμῶν πλησίον τοῖς φωστῆρσι δέδοται, Σελήνῃ μὲν Καρκίνος, Ἡλίῳ δὲ Λέων. ἑξῆς δὲ τῷ μὲν ἐγγυτάτω αὐτῶν Ἑρμῇ Δίδυμοι καὶ Παρθένος, μεθ' ὃν Ἀφροδίτῃ Ταῦρος καὶ Ζυγός, εἶτα Ἄρει Κριὸς* <*καὶ*> *Σκορπίος, εἶτα Διὶ Τοξότης καὶ Ἰχθύες, εἶτα τῷ πορρωτάτω ἡμῶν Κρόνῳ Αἰγόκερως καὶ Ὑδροχόος.*

6. *Περὶ ὑψωμάτων.*

*Ὑψώματα δὲ τῶν ἀστέρων τίθενται, τῶν μὲν ἡμερινῶν τὰ τρίγωνα τῶν οἴκων καὶ τῇ φύσει συμπαθοῦντα. οἷον Ἡλίου, ἐπεὶ Λέων ἐστὶν οἶκος, ὕψωμα ἔσται Κριὸς τὸ τρίγωνον τούτου τετράπουν ὄν, ἔχει δὲ τὸ ὕψωμα περὶ μοίρας ιθʹ· Κρόνου, ἐπεὶ οἶκος Ὑδροχόος, ὕψωμα ἔσται Ζυγὸς περὶ μοίρας κʹ· Διός, ἐπεὶ οἶκος Ἰχθύες, ὕψωμα ἔσται Καρκίνος περὶ μοίρας ιεʹ. τῶν δὲ νυκτερινῶν*

---

1 ἀστ. κ. νυκτ. S  Petosiridis dicit doctrinam, cf. *Catal.*, VIII, 3, p. 100, 19 ; 112, 8 ; Paul. Alex., D 3 ; Cumont, *Théologie solaire...*, *l. c.*, p. 468, 3.  2 σημαίνει M  2-3 Δία καὶ Κρόνον DM  4 γὰρ scr. : δ' SDM  7 πολ. τε S : πολυσχήματοι DM  11 Περὶ οἴκων ἀστέρων καὶ ζωνῶν S  cf. Porph., *de antro nymph.*, 22 ; Heph., *Catal.*, I, p. 92, 13.  14 βόρεια DM  17 ὧν S : ὧν DM  18 suppl.  20 Π. ὑ. τῶν ἡμερινῶν καὶ νυκτερινῶν ἀστέρων S  cf. Bouché-Leclercq, p. 195.  22 cf. Sext. Emp., *Adv. math.*, V, 36.  23 signum Leonis SM : λέοντος D

ἀστέρων, ὅσοι τῆς αἱρέσεώς εἰσι τῆς Σελήνης, διὰ τὸ ἀσθενὲς τῆς ἀκτῖνος τὰ ἑξάγωνά ἐστι τῶν οἴκων ὑψώματα. ἔστω οὖν Σελήνης μὲν ὕψωμα τὸ ἑξάγωνον Καρκίνου, Ταῦρος περὶ μοίρας γ΄ · Ἄρεως δὲ ὕψωμα τὸ ἑξάγωνον Σκορπίου, Αἰγόκερως περὶ μοίρας κη΄ · Ἀφροδίτης δὲ τὸ ἑξάγωνον Ταύρου, Ἰχθύες περὶ μοίρας κς΄ · ὁ δὲ τοῦ Ἑρμοῦ, ἐπειδὴ κοινός ἐστιν ἥ τε ἀκτὶς ἀμυδροτέρα διὰ τὸ πλειστάκις αὐτὸν δύνειν, τὸ αὐτὸ ἔχει οἶκον καὶ ὕψωμα Παρθένον περὶ μοίρας ιε΄ · τὰ δὲ ἀντικρὺ τῶν ὑψωμάτων ζῴδια ταπεινώματα αὐτῶν τυγχάνει, ἐν οἷς ἀμαυροτέρας ἔχουσι τὰς δυνάμεις.

### 7. Περὶ συνοικοδεσποτῶν.

Συνοικοδεσπόται δ' ἀλλήλων λέγονται, ὅταν τοῦ μὲν οἶκος ᾖ, τοῦ δὲ ὕψωμα. τινὲς δὲ τοὺς τῶν οἴκων καὶ τοὺς τῶν τριγώνων κυρίους συνοικοδεσπότας λέγουσιν, οἷον Κριοῦ Ἥλιος καὶ Ἄρης, Ταύρου Σελήνη καὶ Ἀφροδίτη, Διδύμων Ἑρμῆς καὶ Κρόνος, Καρκίνου Ζεὺς καὶ Σελήνη. Ζυγοῦ Κρόνος καὶ Ἀφροδίτη, Σκορπίου Ἄρης μόνος. Τοξότου Ζεὺς καὶ Ἥλιος. Αἰγοκέρωτος Ἄρης καὶ Κρόνος. Ὑδροχόου Κρόνος καὶ Ἑρμῆς, Ἰχθύων Ἀφροδίτη καὶ Ζεύς · ὁμοίως δὲ καὶ ἐπὶ τῶν λοιπῶν. φωστῆρας καὶ φῶτα καὶ βασιλεῖς λέγουσιν Ἥλιον καὶ Σελήνην καὶ τὸν μὲν ἡμέρας, τὴν δὲ νυκτὸς κυρίους · ἐν ταῖς συνοικοδεσποτίαις τοὺς τῆς αἱρέσεως λέγουσι φωστῆρας, ἐν οἷς ὕψωμά τινος λαβεῖν οὐκ ἔστι.

### 8. Περὶ ἐπιμαρτυρίας.

Τοὺς πρὸς ἀλλήλους τῶν ἀστέρων σχηματισμοὺς καλοῦσιν ἐπιμαρτυρίας. ἔστι δὲ σχήματα τάδε · τρίγωνον μὲν τὸ διὰ ε΄, ὅταν ᾖ μέσα τῶν δύο ζῳδίων τρία, τετράγωνον δὲ τὸ διὰ τεσσάρων, ὅταν ᾖ μέσα αὐτῶν ζῴδια δύο, διάμετρον δὲ τὸ ἐν τῷ ζ΄, ὅταν

---

3 *Καρκίνος* SD : *Σκορπίος* M   4 *τὸ ἑξάγωνον* om. S   *Αἰγ.* SD : *Ζεύς* M   10 *Περὶ τοῦ συνοικοδεσποτεῖν ἀλλήλοις* S   cf. Heph., *Catal.*, I, p. 91, 2 ; Rhetor., *Catal.*, VIII, 3, p. 113, 14.   12 *τοὺς* (alt.) om. S   14 *κ. Κρ.* SM : *μόνον* D   16 *μόνον* DM   18 *Λέων Ἡλίου μόνου, Παρθένος Ἑρμοῦ μόνου* D i. mg.   18-19 cf. supra cap. 2.   23 *μαρτυρίας* DM   cf. Rhetor., *Catal.*, VIII, 3, p. 106, 20 ; 113, 22.   25 signum trigoni M : *τριγώνου* D   *τὸ* S : *τὰ* DM   26 *δύο* om. DM   signum quadrati M : *τετραγώνου* D   27 signum diametri M : *διαμέτρου* D

INSTITUTO ANTONIO ... CSIC BIBLIOTECA

196-197 ... de 194-195



*ἢ μέσα ζῴδια πέντε, ἑξάγωνον δὲ τὸ διὰ γ', ὅταν ᾖ μέσον αὐτῶν ζῴδιον ἕν. καὶ ὁ μὲν κατὰ τρίγωνον σχηματισμὸς συμπαθὴς καὶ ὠφέλιμος, κἂν φθοροποιὸς ὑπάρχῃ, ἧττόν ἐστι βλαπτικός· ὁ δὲ τετράγωνος σκληρὸς καὶ ἀσύμφωνος καὶ λυπῆσαι δυνατός, ἐὰν φθοροποιὸς ὑπάρχῃ· ὁ δὲ διάμετρος ἀντίζηλος <μέν>, χείρων δέ, ἐὰν κακοποιὸς ὑπάρχῃ· ὁ δὲ ἑξάγωνος ἀδρανέστερος. ὁρᾶν δὲ χρή, εἰ κατὰ μοῖραν ἔχουσι τέλεια τὰ σχήματα καὶ μὴ μόνον ζῳδια-* 187 *κῶς· ὁ μὲν τρίγωνος διὰ μοιρῶν ρκ', ὁ δὲ τετράγωνος διὰ μοιρῶν ϙ', ὁ δὲ ἑξάγωνος διὰ μοιρῶν ξ', ὁ δὲ διάμετρος διὰ μοιρῶν ρπ'. πολλάκις γὰρ κατὰ μὲν ζῴδιόν εἰσιν ἐσχηματισμένοι, κατὰ δὲ μοῖραν οὐκέτι.*

## 9. *Περὶ δεξιῶν καὶ εὐωνύμων σχημάτων.*

*Δεξιὸν μὲν λέγουσι τρίγωνον καὶ τετράγωνον καὶ ἑξάγωνον, ἀφ' οὗ ἀπελήλυθεν ὁ ἀστήρ, εὐώνυμον δέ, ἐφ' ὃ πορεύεται. οἷον Ἡλίου ὄντος Λέοντι δεξιὸν μὲν τρίγωνον τὸ τοῦ Κριοῦ καὶ Λέοντος, εὐώνυμον δὲ τὸ τοῦ Τοξότου· δεξιὸν δὲ τετράγωνον τὸ τοῦ Ταύρου καὶ Λέοντος, εὐώνυμον δὲ τὸ τοῦ Σκορπίου· δεξιὸν δὲ ἑξάγωνον τὸ τῶν Διδύμων καὶ Λέοντος, εὐώνυμον δὲ τὸ τοῦ Ζυγοῦ· ἑπτὰ γὰρ ἀκτῖνας ἕκαστος τῶν ἀστέρων ἀφίησι, τρεῖς μὲν εἰς τὸ ἄνω, τρεῖς δὲ εἰς τὸ κάτω, μίαν δὲ ἐπὶ τὸ διάμετρον, ὧν δεξιαὶ μὲν αἱ ἐπὶ τὸ ἄνω, εὐώνυμοι δὲ αἱ ἐπὶ τὸ κάτω.*

## 10. *Περὶ παραλλαγῆς.*

*Παραλλαγὴν λέγουσιν, ὅταν τὸν κατὰ μοῖραν σχηματισμὸν τῆς ἰσοσκελοῦς γραμμῆς παραλλάξωσιν οἱ ἀστέρες, οἷον Ἥλιος Κριῷ μοίρ. ιθ', Κρόνος Ζυγῷ μοίρ. κ'.*

## 11. *Περὶ συναφῆς καὶ κολλήσεως.*

*Συναφὴν δὲ καὶ κόλλησιν λέγουσιν, ὅταν μοιρικῶς συνάπτωσι*

---

1 *μέσον* SDM    signum hexagoni M : *ςγώνου* D    *τριῶν ὅταν* DM : *τῶν ζῳδίων α' ταν* S    *αὐτῶν* om. S    5 suppl.    12 *Τί δεξιὸν σχῆμα καὶ τί εὐώνυμον* S    *σχημάτων* M : *σχηματισμῶν* D    cf. Rhetor., *Catal.*, I, p. 155, 27 ; VIII, 3, p. 106, 25 ; 113, 33.    13 *μὲν*] *δὲ* SDM    15 signum Leonis SDM    *τὸ τρ.* DM    16-17 *δεξιὸν - Σκορπίου* om. D    19 cf. Bouché-Leclercq, *Astrol. gr.*, p. 81, 3.    22 cf. Rhetor., *Catal.*, VIII, 3, p. 113, 35.    24 *ὁ Ἥ.* DM    26 cf. Rhetor., *Catal.*, VIII, 3, p. 113, 37 ; Heph., *Catal.*, I, p. [illegible]

καθ' οἷον δηποτοῦν σχῆμα ἢ καὶ ἐντὸς τριῶν μοιρῶν μέλλωσι συνάπτειν. ῥηθείη δ' ἂν καὶ οὕτω · κόλλησίς ἐστιν, ὅταν ἀστὴρ ἀστέρι προσέρχηται ὁ ταχίων τῷ βράδιον κινουμένῳ μὴ πλεῖον ἀπέχων ἔτι μοιρῶν τριῶν. ἐπὶ δὲ τῆς Σελήνης λέγουσί τινες ἐντὸς τρισκαίδεκα μοιρῶν, τουτέστιν ἡμερινοῦ καὶ νυκτερινοῦ δρόμου, τὴν συναφὴν παρατηρεῖν τίνι συνάπτει.

## 12. Περὶ ἀπορροίας.

Ἀπόρροια δέ ἐστιν, ὅθεν φέρεται ἀστὴρ ἀπὸ ἀστέρος, συναφὴ δέ, εἰς ἣν φέρεται ἀστέρα ἢ ἀκτῖνα, οἷον Σελήνη <ἐν> Σκορπίῳ μοίρ. κ', Κρόνος δὲ ἐν τῷ αὐτῷ μοίρ. ι', ὁ δὲ τοῦ Διὸς ὁμοίως <ἐν> Σκορπίῳ μοίρ. κε' · φανερὸν ὅτι τὴν μὲν ἀπόρροιαν ἕξει ἀπὸ Κρόνου, Διὶ δὲ συνάπτει. πάλιν ἔστω Σελήνη <ἐν> Σκορπίῳ κ', Κρόνος ἐν Ὑδροχόῳ μοίρ. ι', Ζεὺς <ἐν> Λέοντι μοίρ. κε' · ἕξει ἄρα τὴν ἀπόρροιαν ἡ Σελήνη ἐκ τῆς ι' τοῦ Σκορπίου μοίρας, ἥτις ἀκτινοβολεῖται ἐκ τετραγώνου ὑπὸ Κρόνου, συνάπτει δὲ τῇ κε' τοῦ Σκορπίου ἀκτινοβολουμένῃ ὑπὸ τοῦ Διὸς ἐκ τοῦ προειρημένου ζῳδίου.

## 13. Ἄλλως περὶ ἀπορροίας.

Ἔτι τὴν ἀπόρροιαν καὶ οὕτως ἀποδιδόασιν · ἀπόρροιά ἐστιν, ὅταν ἄστρον ἄστρου ἀπορρέῃ, τὸ ταχύτερον τοῦ βραδυτέρου ἤτοι ἀπὸ κολλήσεως γεγενημένης ἆσσον, ἤτοι ἀπὸ συναφῆς τῆς κατὰ σχῆμα, ὅταν πλείονας τοῦ δέοντος πρὸς τὸ σχῆμα μοίρας μέσας ἔχειν ἄρχωνται.

## 14. Περὶ περισχέσεως.

Περισχεθῆναι δὲ λέγουσιν, ὅταν ἐν τοιούτῳ σχήματι γένηται ἀστήρ · οἷον ἔστω ἡ Σελήνη Παρθένῳ, Ἄρης δὲ Κριῷ, περιέχει τὴν Παρθένον Λέων καὶ Ζυγός, ἀκτὶς δὲ τοῦ Ἄρεως · ἡ μὲν φέ-

---

1 τριῶν Rhet. Heph. : ἀπό SDM   2 cf. Rhetor., *Catal.*, I, p. 158, 14 ; VIII, 3, p. 107, 15 : 114, 5   4 τῆς om. DM   8 συναφὴν SM   9 suppl.   11 suppl.   12 suppl.   13 suppl.   14 μοίρας om. D   15 ἐ. Κρ. ἐκ τ. DM   16 προειρημένου S : προκειμένου DM   18 tit. om. S   cf. Rhetor., *Catal.*, VIII, 3, p. 114, 8.   19 ἀπόρρ. ἐστιν om. DM   21 γεγενημένης S Rhetor. : γενομένης DM   24 Περὶ τοῦ περισχεθῆναι S   cf. Heph., I, 15 : *Catal.*, I, p. 92.

… Ζυγοῦ διάμετρον, περιεσχέθη ἡ Σελήνη ὑπὸ κακοποιῶν ἀκτίνων. ὅταν οὖν κακοποιοὶ περιέχωσιν ἢ τὴν Σελήνην ἢ τὸν ὡροσκόπον, μηδενὸς τῶν ἀγαθοποιῶν λόγον ἔχοντος χρηματιστικὸν πρὸς τοὺς περισχεθέντας, ὀλιγοχρόνιόν 188 φασι γίνεσθαι τὸν γεννώμενον.

## 15. Περὶ ἐμπερισχέσεως.

Πάλιν τὴν ἐμπερίσχεσιν οὕτως ἀποδιδόασιν· ἐμπερίσχεσις λέγεται, ὅταν δύο ἀστέρες ἕνα μέσον ἐμπερισχῶσιν μηδενὸς εἰς τὰ μεταξὺ ἄλλου παρεμβάλλοντος τὴν ἀκτῖνα, ἢ πάλιν ἐφ' ἃς παρελήλυθεν ἀστὴρ μοίρας ζ' ἢ ἐφ' ἃς ἔρχεται ζ' κατὰ σχῆμα ἕτεροι τὰς ἀκτῖνας ἐπιβάλωσιν ἢ ὁ αὐτὸς καὶ εἷς ἐκ διαφόρων σχημάτων, ὡς προείρηται. χαλεπὴ δὲ ἡ τοιαύτη ἐμπερίσχεσις ὑπὸ φθοροποιῶν ἐγγινομένη, ὑπὸ δὲ ἀγαθοποιῶν εὐεργετική.

## 16. Περὶ μεσεμβολήσεως.

Μεσεμβόλησίς ἐστιν, ὅταν εἰς τὰς μέσας μοίρας ἐπιβάλῃ ἀστὴρ τὴν ἀκτῖνα. οἷον Σελήνης οὔσης ἐν Λέοντι μοίρ. ι' καὶ Ἄρεως <ἐν> Λέοντι μοίρας κε' μέσαι ἄρα ιε' μοῖραι ἀπὸ μοίρας ι' Λέοντος ἕως μοίρας κε'. ἐὰν οὖν ὁ τοῦ Διὸς τύχῃ <ἐν> Κριῷ ὑπάρχων μοίρ. ιβ' ἢ καὶ πλειόνων ἅπαξ ἀπὸ μοιρῶν ι' ἕως κε', μεσεμβολεῖ ἡ τούτου ἀκτὶς τὰς μέσας μοίρας. ὡσαύτως δὲ κἂν μὲν ἡ Σελήνη ᾖ ἐν τῇ ι' μοίρᾳ τοῦ Λέοντος καὶ ὁ Ζεὺς ἐν τῇ κε', ὁ δὲ Ἄρης <ἐν> Κριῷ μοίρας ιβ' ἢ πλειόνων, ὡς εἴπομεν ἐπὶ τοῦ Διός, μεσεμβολεῖ Ἄρης τὴν Σελήνην καὶ τὸν Δία.

## 17. Περὶ μετοχετεύσεως.

Μετοχέτευσις λέγεται, ὅταν ἀστὴρ συνάπτῃ ἑτέρῳ ἀστέρι κἀκεῖνος πάλιν ἑτέρῳ. μετοχετεύει γὰρ τὴν δύναμιν τοῦ ἑνὸς ἐπὶ τὴν δύναμιν τοῦ ἑτέρου.

---

1 τοῦ Λ. DM τὰ τρ. DM 2 post Σελ.] οὖν SM
5 τὸν S : τὸ DM 6 Π. ἐμπ. S Rhet. : Ἐμπερίσχεσις δευτέρα DM
cf. Rhet., *Catal.*, VIII, 3, p. 114, 23 ; Heph., *Catal.*, I, p. 93.
10 ἢ Rhet. : καὶ SDM 11 ἐπιβάλλουσιν DM ὁ om. DM
12 προείρ.] c. 14 13 δὲ om. DM 14 cf. Rhetor., *Catal.*,
I, p. 158, 20 ; VIII 3, p. 107, 19 16 ἐν om. S 17 suppl.
18 ἐὰν οὖν DM : ἂν S ὁ om. DM suppl. 21 μὲν
om. DM ᾖ codd. rec. ; H. Wolf : ἦν SDM 22 suppl.
26-27 δύναμιν (utrumque) D : δύσιν SM

18. *Περὶ ἐπισυναγωγῆς.*

*Ἐπισυναγωγὴ λέγεται, ὅταν συνάπτωσι τῷ ἑνὶ ἀστέρι διάφοροι ἀστέρες· τηνικαῦτα γὰρ λαμβάνει ὁ ἀστὴρ τὴν δύναμιν ἐκείνων.*

19. *Περὶ ἀποστροφῆς.*

*Ἀποστροφὴ λέγεται, ὅταν ὁ κύριος τοῦ ὡροσκόπου οὐ συνάπτῃ τῷ κυρίῳ τοῦ ὡροσκόπου τοῦ σημαίνοντος τὰ περὶ ἐρωτήσεων.*

20. *Περὶ ἐπιδεκατείας.*

*Ἐπιδεκατεύειν δὲ λέγεται καὶ καθυπερτερεῖν ὁ ἐν τῷ δεκάτῳ ζῳδίῳ κείμενος τὸν ἐν τῷ τετάρτῳ, οἷον ἐπιδεκατεύει ὁ ἐν Ζυγῷ τυγχάνων ἀστὴρ τὸν ἐν Αἰγοκέρωτι καὶ ὁ ἐν Αἰγοκέρωτι τὸν ἐν Κριῷ.*

21. *Περὶ καθυπερτερήσεως.*

*Καθυπερτερεῖ πᾶς ἀστὴρ <ὁ> ἐν τῷ δεξιῷ τριγώνῳ ἢ τετραγώνῳ κείμενος ἢ ἑξαγώνῳ τὸν ἐν τῷ εὐωνύμῳ· ἔρχεται γὰρ ἐπ᾽ αὐτόν. οἷον ἐν Αἰγοκέρωτί τις ὢν καθυπερτερεῖ τὸν ἐν τῷ Ταύρῳ τριγώνῳ καὶ τὸν ἐν Κριῷ τετραγώνῳ σχήματι καὶ τὸν ἐν Ἰχθύσιν ἑξαγώνῳ, αὐτὸς δὲ καθυπερτερεῖται ὑπὸ τοῦ ἐν Ζυγῷ καὶ ὑπὸ τοῦ ἐν Παρθένῳ καὶ ὑπὸ τοῦ ἐν Σκορπίῳ. λέγουσι δὲ δυνατωτέρας εἶναι τὰς καθυπερτερήσεις εἴτε τρίγωνοι εἶεν, εἴτε τετράγωνοι. ὁ γὰρ οὕτω καθυπερτερῶν ἀστὴρ ἰσχυρότερός ἐστιν, ἄν τε ἀγαθοποιὸς ᾖ, ἄν τε κακοποιός, ἢ καὶ ἐπίκεντρος. ἀγαθοποιὸς μὲν γὰρ ὢν ἐπίσημον τὴν γένεσιν δείκνυσι, φθοροποιὸς δὲ ἄσημον, καὶ καθόλου πᾶς ἀστὴρ* 189 *ὁ ἐν τῷ δεξιῷ καθυπερτερεῖ τὸν ἐν τῷ εὐωνύμῳ, ἐφ᾽ ὃν φέρεται.*

---

1 *συναγωγῆς* M 3 *ὁ ἀ. λ.* DM 5 *κ. τ. ὡρ.*] *ἤγουν παρατυχὼν τῷ ὡροσκόπῳ* suprascr. S *συνάπτει* DM 7 *Π. ἐ. καὶ καθυπερτερήσεως* S *δεκατείας* DM cf. Heph., I, 16 (*Catal.*, VIII, 2, p. 49) ; Rhetor., *Catal.*, I, p. 157, 1 ; VIII, 3, p. 106, 30 ; 114, 12. 8 *ἐπιδεκατεύων ... καθυπερτερῶν* SDM *δωδεκάτῳ* DM ; cf. Salmasius, *De annis climactericis*, p. 414 10 *τυγχάνων* S : *ὑπάρχων* DM 12 tit. om. S (sed cf. 7) cf. Rhetor., *Catal.*, VIII, 3, p. 106, 30 ; 114, 12 ; Heph., *Catal.*, VIII, 2, p. 49 13 suppl. 14 *γὰρ* S Heph. : *δὲ* DM 15 *οἷον ὁ* D *τις ὢν* om. DM 16 *ἐν* om. D 17 *δὲ* S : *γὰρ* DM 20 *ἀγαθ.* (sic etiam Heph.)] *ἀνατολικὸς* Rhet. 23 *καθυπερτερῇ* DM *ἐφ᾽* DM ; *καθ᾽* S

22. *Περὶ ὁμορήσεως.*

Ὁμόρησις λέγεται, ὅταν ἐν τοῖς αὐτοῖς ὁρίοις ἀστέρες ὦσιν ἤτοι ἐπὶ κολλήσεως γεγενημένης ἢ καὶ κατὰ σχῆμα οἱονδήποτε ἀλλήλους ἐφορῶντες ἐν ὁρίοις ἀστέρος τοῦ αὐτοῦ.

23. *Περὶ κενοδρομίας.*

Κενοδρομία λέγεται, ὅταν ἡ Σελήνη μηδενὶ συνάπτῃ μήτε ζῳδιακῶς, μήτε μοιρικῶς, μήτε κατὰ σχῆμα, μήτε κατὰ κόλλησιν, μήτε μὴν ἐντὸς λʹ μοιρῶν τῶν ἔγγιστα συναφὴν ἢ σύνοδον ποιεῖσθαι μέλλῃ. ἀδιαίρετοι δὲ αἱ τοιαῦται γενέσεις καὶ ἀπρόκοποι.

24. *Περὶ ἀκτινοβολίας.*

Ἀκτινοβολεῖ δὲ ἀστὴρ ὁ προηγούμενος τὸν ἑπόμενον κατὰ σχῆμα, οἷον ὁ ἐν Κριῷ ἀκτινοβολεῖ τὸν ἐν Αἰγοκέρωτι τετράγωνον καὶ τὸν ἐν Τοξότῃ τρίγωνον, ὁ δὲ ἑπόμενος τὸν προηγούμενον ἐφορᾷ μὲν καὶ καθυπερτερεῖ φερόμενος ἐπ' αὐτόν, ὡς προείρηται, οὐκ ἀκτινοβολεῖ δέ. πάσης γὰρ αὐγῆς ἡ μὲν ὄψις εἰς τὸ ἔμπροσθεν φέρεται, ἡ δὲ ἀκτὶς εἰς τοὐπίσω · καὶ ἐνταῦθα δὲ θεωρεῖν χρή, πότερον ζῳδιακῶς μόνον ἀκτινοβολεῖ, ἢ καὶ συνάπτει μοιρικῶς. γεγόνασι δὲ αἱρέσεις περὶ τούτων δύο · ἀκτινοβολεῖν γὰρ θέντες τὸν κατὰ τετράγωνον ἀστέρα ἐκ τοῦ καθ' ὑπάντησιν ζῳδίου τὸν ἐκ τοῦ κατ' ἐπακολούθησιν, οἷον ἀκτινοβολεῖν τὸν ἐν τῷ Καρκίνῳ τὸν ἐν τῷ Κριῷ, θεωρεῖν δὲ τὸν ἐν τῷ Κριῷ τὸν ἐν τῷ Καρκίνῳ, ὃν καὶ ἀναιρεῖν φασιν, εἰ κακοποιὸς εἴη. ὁ γὰρ ἀκτινοβολῶν ἀναιρεῖ, οὐχ ὁ ἐπιθεωρῶν. ὁ δὲ κατὰ διάμετρον καὶ ἀκτινοβολεῖ

---

1 *ὁμορήσεως* scr. (cf. Liddell-Scott, s.v.) : *ὁμορώσεως* SDM : *ὁμορροήσεως* Rhet. : *ὁμοίωσις* Heph. cf. Rhetor., *Catal.*, I, p. 159, 4 ; VIII, 3, p. 107, 26 ; 114, 17 ; Heph., *Catal.*, VIII, 2, p. 49 ; Serap., *Catal.*, VIII, 4, p. 226, 25 2 *ὁμόρωσις* SDM 3 *καὶ* om. DM 4 *ἐφορῶντες* Heph. : *ἀφορῶντες* SDM 5 cf. Rhetor., *Catal.*, I, p. 159, 1 ; VIII, 3, p. 107, 24 ; 110, 30 ; 114, 19. 6 *συνάπτει* D 9 *μέλλῃ* Cumont : *μέλλοι* M Rhetor. : *μέλλει* SD 10 -*βολήσεως* S cf. Rhetor., *Catal.*, VIII, 3, p. 114, 28 ; Heph., I, 16 (adde *Catal.*, VIII, 2, p. 48 s.) 11 *πρ.*] *ἡγ.* DM *ὁ ἑπόμενος τὸν προηγούμενον* SDM Heph. : an error est jam Porphyrii ? 13 *ἐν* om. DM *προηγούμενος τὸν ἑπόμενον* SDM Heph. *ἡγούμ.* DM 14 *ἐπ'* DM : *ὑπ'* S *προείρ.*] c. 21 16 *δὲ* (alt.) om. D 18 *δὲ* S : *γὰρ* DM 19 *τετράγωνον* om. D 20 *ἐπικολ.* DM : *ἐπικατήγησιν* Salmasius 22 *καὶ* om. DM

καὶ ἐπιθεωρεῖ, ὁ μέντοι κατὰ τρίγωνον οὐδέποτε ἀκτινοβολεῖ. ἀπερείδεται γὰρ τὴν ἀκτῖνα ἐπὶ τὸ τετράγωνον σύνεγγυς ὑπάρχον μᾶλλον τοῦ τριγώνου, ὥστε εὐπρακτοτέραν ἐπὶ τοῦ τριγώνου γίνεσθαι αὐτοῦ τὴν συμπάθειαν. ταῦτα μὲν οὖν οὕτως. Θ ρ ά σ υ λ λ ο ς δὲ τὴν ἀκτινοβολίαν ἀναίρεσιν λέγει, ἀναιρεῖν δὲ τοὺς τοῖς τετραγώνοις σχήμασιν ἐπιπαρόντας ἢ τοῖς διαμέτροις ἐν τῷ διαστήματι τῆς ὡροσκοπούσης μοίρας τῆς τῶν τριγώνων μαρτυρίας, μὴ λαμβανομένης εἰς ἀναίρεσιν. τὸ δὲ πόθεν ἐπιφέρουσι τὴν ἀκτῖνα οὐ διοίσει, φησί, πότερον ἐκ δεξιῶν ἢ εὐωνύμων εἰς τὴν ἐπαναφορὰν τοῦ ὡροσκόπου ἢ τοῦ ἀστέρος τοῦ ἔχοντος τὴν κυρείαν τῆς Σελήνης, ὅθεν ἔσται ἡ ἄφεσις. λέγει δέ, ὅτι ἐὰν ἡ Σελήνη τύχῃ τὸν οἰκοδεσπότην ἔχουσα σὺν ἑαυτῇ ἢ κατὰ διάμετρον, ἀπὸ τοῦ οἰκοδεσπότου τὴν ἄφεσιν ποιησόμεθα. οἷον εἰ γένοιτο ἐν Τοξότῃ μετὰ Διὸς ἡ Σελήνη ἢ ὁ Ζεὺς ἐν Διδύμοις εἴη αὐτῆς τῆς Σελήνης οὔσης ἐν Τοξότῃ, ἀπὸ τοῦ Διὸς ἀφήσομεν.

190

25. *Π ε ρ ὶ λ α μ π η ν ῶ ν.*

Ἐν λαμπήναις δὲ ἰδίαις λέγονται ἀστέρες κεῖσθαι, ὅταν ἐν οἴκῳ ἰδίῳ ἢ τριγώνῳ ἢ ὑψώματι κεῖνται καὶ ὁρίοις ἰδίοις. ἔσται δὲ καὶ οὕτω δυνατώτατος, ἐὰν καὶ δεδυκὼς ᾖ ὑπὸ τὰς αὐγὰς τοῦ Ἡλίου· πλείω γὰρ ἰσχύει τῶν ἄλλων. ἐὰν δὲ καὶ ἔχῃ ἀνατολὴν ἢ ἐπίκεντρος τύχῃ καὶ τὴν Σελήνην ἐφορᾷ, ἐξουσιαστικὴν καὶ ἀρχοντικὴν ποιήσει τὴν γένεσιν. [α′ ἐκ τοῦ ἑπομένου καὶ εὐωνύμου· β′ ἐκ τοῦ ἡγουμένου καὶ δεξιοῦ· γ′ ἐκ τῶν εὐωνύμων· δ′ ... ταύτης ἐστὶ τῆς δόξης καὶ ὁ Π τ ο λ ε μ α ῖ ο ς λέγων ἀκτῖνα ἐπιφερόντων ὅθεν δήποτε τετράγωνον ἢ διάμετρον. ὁ δὲ Π τ ο λ ε μ α ῖ ο ς καὶ τὰ τρί-

---

2 ἐπερ. Heph. γὰρ S Heph. : δὲ DM τὸν S ὑπάρχων DM 3 ὥστε - τριγώνου om. DM 3-4 γιγν. DM 4-5 de Thrasyllo cf. Cumont, *Catal.*, VIII, 3, p. 99, 1 ; Gundel, *Realenc.*, VI A, p. 581. 10 κυρίαν D 11 λέγω D 12 ἑαυτῷ M 16 cf. Ptol., *Tetrab.*, I, 23, 2 ; Rhetor., *Catal.*, I, p. 159, 15 ; VIII, 3, p. 107, 33 ; 114, 34 19 καὶ ἐὰν καὶ SDM 20 καὶ om. DM 21 ἐξουσιακὴν M 21-22 ποιεῖ DM ἀνατολὰς DM 22-204, 2 α′ ἐκ τοῦ - παρατηρεῖν scholion (vel potius quattuor scholia) seclusi ; ea enim, quae e Ptolemaeo afferuntur (*Tetrab.*, III, 11, 12), non ad hanc doctrinam, sed ad Thrasylli verba capituli praecedentis spectare videntur 22 α′ om. S (spat. rel.) καὶ om. S ἐκ] τὸν ἐκ SDM β′ om. S (spat. rel.) 23 γ′ om. S (spat.) δ′ om. S (spat.) lacunam significavi

γωνα τῶν ἀστέρων λέγει, πλὴν κατὰ τὰς συνοικειώσεις κελεύει τοῦτο παρατηρεῖν].

26. *Περὶ μετοχῆς.*

*Μετοχή ἐστιν, ὅταν ὁ συμμετέχων τοῦ ζῳδίου συμπαρῇ, ἢ οἰκείως αὐτὸ ἐφορᾷ· συμμετέχει δὲ τοῦ ζῳδίου ὁ συνδεσπόζων· συνδεσπόζει δέ, ὅταν τοῦ μὲν οἶκος, τοῦ δὲ ὕψωμα ᾖ.*

27. *Περὶ ἀνταναλύσεως.*

*Ἀντανάλυσις καλεῖται, ὅταν οἱ ἡμερινοὶ τῶν νυκτερινῶν ἢ οἱ νυκτερινοὶ τῶν ἡμερινῶν τοὺς οἴκους ἢ τὰ ὑψώματα κατασχῶσιν, ἢ ὅταν οἱ μὲν ἐπικείμενοι τοῖς ζῳδίοις ἀστέρες καλῶς χρηματίζωσιν, οἱ δὲ δεσπόται τῶν ζῳδίων ἐν κακώσει ὑπάρχωσιν ἀχρημάτιστοι τυγχάνοντες.*

28. *Περὶ κακώσεως.*

*Κάκωσις λέγεται, ὅταν ὑπὸ φθοροποιῶν ἀκτινοβολῆταί τις, ἢ ἐμπεριέχηται ἢ ἐν συναφῇ φθοροποιοῦ ἢ ἐν κολλήσει γένηται ἢ διαμετρῆται ἢ καθυπερτερῆται ἢ οἰκοδεσποτῆται ὑπὸ φθοροποιοῦ κακῶς κειμένου, αὐτὸς δὲ ἐν τοῖς ἀχρηματίστοις ἀποκλίνῃ.*

29. *Περὶ δορυφορίας.*

*Δορυφορίας γένη ἐστὶ τρία· πρῶτον μέν, ἐάν τινα ἐν οἴκῳ ὄντα ἰδίῳ ἢ ὑψώματι ἐπίκεντρον ἕτερος ἐν οἴκῳ ἰδίῳ ἢ ὑψώματι κείμενος κατὰ σχῆμα κατοπτεύῃ ἐπὶ τὴν προαναφερομένην αὐτοῦ μοῖραν τὴν ἀκτῖνα βάλλων, οἷον ἐὰν ἐν Λέοντι Ἥλιον ὄντα Κρόνος ἐξ Ὑδροχόου διαμετρήσῃ ἢ Ζεὺς ἐκ Τοξότου τριγωνίσῃ, ἢ πάλιν τὸν Δία ἐν Καρκίνῳ κείμενον Ἄρης ἐν Αἰγοκέρωτι ὢν διαμετρήσῃ, ἢ ἐν Τοξότῃ κείμενον Ἄρης ἐκ Κριοῦ τριγωνίσῃ, ἢ Ἑρμῆς ἐκ*

---

3 cf. Rhetor., *Catal.*, I, p. 157, 25 ; VIII, 3, p. 107, 4 ; 115, 4. 5 *αὐτὸν* SDM 7 cf. Rhetor., *Catal.*, I, p. 158, 1 ; VIII, 3, p. 107, 6 ; 115, 5 10-11 *χρηματίζωσιν* SDM Rhetor. (l. c.) : *-σθῶσιν* Rhetor. (*Catal.*, I, p. 158, 4) 11 *κακώσεσιν* DM 13 cf. *Catal.*, I, p. 157, 7 ; VIII, 3, p. 106, 34. 14 *ἀκτινοβολεῖται* D 15 *ἐμπεριέχεται* M 16 *ἢ καθυπ.* om. D *ἢ ὑπὸ* D 17 an *τοῖς* <*τόποις*> ? 18 *δορυφοριῶν* S cf. Rhetor., *Catal.*, I, p. 156, 7 ; VIII, 3, p. 115, 10 ; Heph., I, 17. 22 *ἐν Λ. τοῦ Ἡ. ὄντος* Rhet. *ὄντα κείμενον* SDM 25-205, 2 *ἢ Ἑρμῆς — τριγωνίσῃ* om. S 25 *ἐκ* M : *ἐν* D

Διδύμων διαμετρήση, ἢ Σελήνην ἐν Καρκίνῳ κειμένην Ἄρης
ἀπὸ Σκορπίου τριγωνίσῃ ἢ Ζεὺς ἢ Ἀφροδίτη ἀπὸ Ἰχθύων ἢ πάλιν
Σελήνην ἐν Ταύρῳ κειμένην Ἀφροδίτη ἢ Ζεὺς ἀπὸ Ἰχθύων ἑξα-
γωνίσωσιν ἢ ἐν Καρκίνῳ Σελήνην κειμένην Ἀφροδίτη ἀπὸ Ταύ-
ρου ἑξαγωνίσῃ ἢ ἀπὸ Ἰχθύων Ζεὺς ἢ Ἀφροδίτη τριγωνίσῃ.
μεγάλη μὲν οὖν ἐστιν ἡ γένεσις, ἐὰν οἱ τῆς αἱρέσεως οἰκοδεσπόται
δορυφορῶσιν, οὐ φαύλη δέ. ἐὰν ἐναλλάξ, ἐκτὸς εἰ μὴ παντάπασιν
φθοροποιοὶ τύχωσι, καὶ οὗτοι τὰ μὲν βλάψουσι, τὰ δὲ ὠφελήσουσιν.
οὐδεὶς γὰρ ἀστὴρ ἐν ἰδίῳ οἴκῳ ἢ ἐν ἰδίῳ ὑψώματι χρηματίζων 19
ἀνενέργητος ὑπάρχει. — Ἕτερον γένος δορυφορίας τὸ κατὰ τὴν ἀκ-
τινοβολίαν λεγόμενον, οἷον ἐὰν ἐπίκεντρον τῷ ὡροσκόπῳ φωστῆρα
ἢ τῷ μεσουρανήματι, κἂν ἐν ἀλλοτρίῳ οἴκῳ κείμενον, τῆς αἱρέ-
σεως ἀστὴρ ἀκτινοβολῇ, Ἥλιον μὲν εἰς τὴν προαναφερομένην
μοῖραν, Σελήνην δὲ εἰς τὴν ἑξῆς, ἐφ' ἣν ἔρχεται κατὰ ἰσοσκελῆ
γραμμὴν τὴν ἀκτῖνα βάλλων. πᾶσαι δὲ αἱ τρίγωνοι δορυφορίαι ἀμεί-
νονες τῶν τετραγώνων καὶ διαμέτρων καὶ ἑξαγώνων, αἵπερ εἰσὶν
ἀσθενεστέραι. — Τρίτον γένος ἐστὶ δορυφορίας, ἐὰν ἐπικείμενον
ἢ τῷ ὡροσκόπῳ ἢ τῷ μεσουρανήματι ἀστέρα ἡμερινῇ μὲν γενέ-
σει ἡμερινοί, νυκτερινῇ δὲ νυκτερινοὶ δορυφορήσωσι προηγού-
μενοι ἢ ἑπόμενοι. κατὰ τοῦτο δὲ τὸ σχῆμα Ἥλιος μὲν δορυφορη-
θήσεται ὑπὸ τοῦ προαναφερομένου, Σελήνη δὲ ὑπὸ τοῦ ἐντὸς ζ'
μοιρῶν ἐπαναφερομένου. τὸν μέντοι Ἥλιον οὐ βλάπτουσι δορυ-
φοροῦντες οἱ τὰς ιε' μοίρας αὐτοῦ ἐν τῷ προαναφερομένῳ διεστῶ-
τες, ἐὰν ὦσιν ἀνατολικοὶ καὶ δύναμιν ἔχωσι. κατὰ τὰ αὐτὰ δὲ καὶ
αὐτὸς ὁ Ἥλιος δορυφορεῖν δύναται τὸν συναιρετιστὴν ἐπίκεντρον
ὄντα, ἥ τε Σελήνη ὁμοίως. παρ' αἵρεσιν δὲ γίνονται αἱ δορυφορίαι,
ὅταν οἱ ἡμερινοὶ τοὺς νυκτερινοὺς δορυφορήσωσιν ἢ οἱ νυκτερινοὶ
τοὺς ἡμερινούς, ἀλλ' ὅμως, ἐὰν ὑπὸ ἀγαθοποιῶν ἡ δορυφορία
γίνηται, οὐδ' οὕτως ἄσημος ἡ γένεσις ἔσται.

---

1 διαμετρήσει D κειμένη DM 2 τριγωνίσει D 4 Σελ.
S : η M : om. D κειμένη D 5 ἑξαγωνίσει D ἢ SM : εἰ D
τριγωνίσει D 7 δορυφορηθῶσιν DM 8 φθοροποιοῦ D βλά-
ψωσι D 10 ἀνενεργέτητος DM 11 ἐπίκεντρος D 12 sic etiam
Heph., sed cf. eundem Heph., *Catal.*, VIII, 2, 50, 1 13 -βολεῖ M
(-βο^λ D) παραφερομένην D 14 τὴν S : τὸν DM
15 πᾶσι DM 16 ἑξ. καὶ διαμ. SDM : transp., cf. supra, p. 198, 6
ἑξαγ. om. Heph. αἵπερ] αἱ δὲ ἑξάγωνοι Heph. 17 ἀσθε-
νεστέραι SHeph. : -νέστατοι D : -νέσταται M 22 ἐπαναφ.
SDM Serap. (*Catal.*, VIII, 4, 227, 9) : προαναφ. Rhetor. (*Catal.*, VIII,
3, p. 115, 29). 24 ἐὰν scr. : ἵνα SDM 26 cf. *Catal.*, I, p. 156, 24.

30. *Περὶ οἰκοδεσπότου καὶ κυρίου καὶ ἐπικρατήτορος.*

*Ἔτι τίνι διαφέρουσιν ἀλλήλων οἰκοδεσπότης γενέσεως καὶ κύριος καὶ ἐπικρατήτωρ, χρὴ διεσταλκέναι. οἱ γὰρ ἀρχαῖοι πλέξαντες τὰς ὀνομασίας τὴν ἐπαγγελίαν οὐ διέκριναν. ἰδίαν γὰρ ἕκαστος ἔχει δύναμιν, ὥσπερ ναύκληρος καὶ κυβερνήτης· διδάξομεν οὖν, τίνι ἀλλήλων διαφέρουσι. τινὲς μὲν οὖν ἡμέρας τὸν Ἥλιον, νυκτὸς δὲ τὴν Σελήνην ἐπικρατεῖν τίθενται, τὸ δὲ ἀκριβὲς διατεθήσεται οὕτως· ἐπὶ μὲν ἡμερινῆς γενέσεως ὁ Ἥλιος ἐὰν ἐν τῷ ἀπηλιώτῃ ἀναφέρηται, αὐτὸς λήψεται τὴν ἐπικράτησιν· ἀποκλίναντος δὲ τοῦ Ἡλίου ἐπὶ λίβα, ἐὰν ἡ Σελήνη τύχῃ ἐν τῷ ἀπηλιώτῃ, ἐκείνη λήψεται, κἂν ἐπαναφέρηται τῷ ὡροσκόπῳ διὰ τὸ ἐπὶ τὸν ἀπηλιώτην ἀναβαίνειν· ἀμφοτέρων δὲ ἀποκεκλικότων ἐπὶ τὸν λίβα ὁ ὡροσκόπος ἕξει τὴν ἐπικράτησιν. ἐπὶ δὲ νυκτερινῆς γενέσεως, ἐὰν μὲν ἡ Σελήνη ἐπὶ τὸν ἀπηλιώτην ἀναφέρηται, αὕτη λήψεται τὴν ἐπικράτησιν· ἐὰν δὲ ἀποκλίνῃ ἐπὶ λίβα, ὁ δὲ Ἥλιος ἔτι ὑπόγειος ὢν ἐπαναφέρηται τῷ ὡροσκόπῳ, ἐκεῖνος ἐπικρατήσει. ἐὰν δὲ ἀμφότεροι ὑπόγειοι τύχωσιν ἐπικέντρων μὲν ὄντων αὐτῶν ἢ ἐπαναφερομένων, ἡ Σελήνη ἕξει τὴν ἐπικράτησιν διὰ τὴν αἵρε-* 192 *σιν· ἐὰν δὲ ἡ μὲν ἀποκεκλικυῖα εὑρίσκηται, ὁ δὲ ἐπίκεντρος ᾖ, ἐκεῖνος. τὸ γὰρ ὅλον ὁ ἐπικεντρότερος τῶν φώτων καὶ ὁ μᾶλλον ἐν τῷ ἀπηλιώτῃ καὶ τῆς αἱρέσεως κρίνεται ἐπικρατήτωρ. ἐὰν δὲ ἀμφότεροι ἀποκλίνωσιν, ἀποίσεται τὴν ἐπικράτησιν ὁ ὡροσκόπος τότε· ὅταν δὲ στήσῃς τὸν ἐπικρατήτορα* (1), *ἐκ τούτου ὁ οἰκοδε-*

---

1 *Τί διαφέρουσιν οἰκοδεσπότης, γένεσις, κύριος καὶ ἐπικρατήτωρ* S cf. Rhetor., *Catal.*, VIII, 3, p. 118, 9 ; Vett. Val., III, 1. 4 *ἀρχαῖοι* S : *παλαιοὶ* D : *παλαὶ* M 9 *οὕτω* DM *τῆς ἡμ.* DM 10 *ἐν* om. DM 15 *ἐν τῷ ἀπηλιώτῃ* DMRhet. 16 *δὲ* om. DM 18 *αὐτῶν ὄντων* DM 21 *ἐπίκεντρος* S

---

(1) *Σχόλιον ἐκ τῶν Δημοφίλου. Ἐπὰν στήσῃς τὸν ἐπικρατήτορα, σκόπει τὰς τῶν κακοποιῶν ἀναιρετικὰς ἀκτῖνας τετραγώνους διαμέτρους ἑξαγώνους μέχρι τῆς ἐνενηκονταμοιρίας καὶ ἐκ τῶν ἀναφορικῶν χρόνων γίνεται δήλη ἡ ποσότης τῆς ζωῆς. δύναται δ' ἀγαθοποιὸς ἀκτινοβολῶν εἰς τὰ ἑπόμενα τῆς ἀναιρετικῆς μοίρας μέχρι μοίρας ε' ἢ καὶ πλειόνων, ἐὰν ᾖ τὸ αὐτὸ ὅριον ἀνταναλῦσαι τὴν κάκωσιν.*

---

1-6 *Σχόλιον - κάκωσιν* om. S 1 *Δημοφίλου* DM : *Θεοφίλου περὶ ζωῆς* cod. Marc. 335, f. 127ᵛ de scholio, quod in codicibus post hoc caput est positum, cf. infra, p. 208, 5 (app. cr.).

*σπότης ληφθήσεται καὶ ὁ συνοικοδεσπότης. ὁ μὲν γὰρ κύριος τοῦ ζῳδίου, ἐν ᾧ ἐστιν ὁ ἐπικρατήτωρ, οἰκοδεσπότης ἔσται. ὁ δὲ τῶν ὁρίων συνοικοδεσπότης. τούτους δεῖ οὖν ἐπισκέπτεσθαι, πῶς κεῖνται καὶ ἐν ποίῳ σχήματί εἰσι καὶ εἰ μαρτυροῦσι τῷ ὡροσκόπῳ ἢ τῇ Σελήνῃ · ἐκ γὰρ τούτων ἡ ὅλη διάκρισις ἔσται. τινὲς δὲ ἁπλῶς τὸν τῶν ὡροσκοπούντων ὁρίων κύριον οἰκοδεσπότην τίθενται τῆς γενέσεως καὶ συνοικοδεσπότην τὸν τοῦ ζῳδίου. κύριον δὲ τῆς γενέσεως οἱ μὲν τὸν τοῦ μεσουρανήματος δεσπότην ὁρίζονται, ἐάνπερ ἐπίκεντρος χρηματίζοι, εἰ δὲ μή, τὸν τῷ μεσουρανήματι ἐπιπαρόντα, ὥσπερ ἐπ' ἀκροπόλει τῆς γενέσεως ἐπιτυραννοῦντα τῆς πράξεως, εἰ δὲ μή, τὸν ἐπαναφερόμενον τῷ μεσουρανήματι · οἱ δὲ πρῶτον μὲν τὸν τοῦ ὡροσκόπου κύριον ἢ τὸν ἐπιβεβηκότα αὐτοῦ τῷ οἴκῳ καὶ τοῖς ὁρίοις, εἶτα τὸν τῆς Σελήνης, εἶτα τὸν τοῦ μεσουρανήματος, εἶτα τὸν τῆς τύχης, εἶτα τὸν πρὸ ζ' ἡμερῶν τῆς ἀποκυήσεως ἢ ἐντὸς ζ' ἡμερῶν φάσιν ἀνατολῆς ἢ δύσεως ἢ στηριγμοῦ ποιούμενον (1). τοῦτον γὰρ τῆς κοσμικῆς ἐπισημασίας τότε γινόμενον αὐθεντικὸν ὁμολογουμένως καὶ τῶν γεννωμένων κυριεύειν, ἐὰν δὲ δύο ὦσι, τὸν ἐπανατέλλοντα δυναμικώτερον τίθενται. τούτοις προσσυλλαμβάνουσι τὸν τῆς συνόδου τῆς προηγουμένης σεληνιακῆς δεσπότην · λέγω δὴ τὸν τῶν ὁρίων κύριον, ἐν οἷς ἡ σύνοδος τῆς Σελήνης πρὸς Ἥλιον ἐγένετο, ἐάνπερ ἀπὸ συνόδου φέρηται ἡ Σελήνη · ἐὰν δὲ φθίνουσα ᾖ, τὸν τῆς πανσελήνου τῶν ὁρίων γενόμενον δεσπότην. ἐκ δὲ τούτων πάντων τὸν συμπαθέστατα πρὸς τὴν γένεσιν κείμενον ἀποφαίνονται κύριον, τουτέστι τὸν ἐπικείμενον πρότερον, τὸν ἀνατολικώτερον ἢ τὸν μᾶλλον ἐπ' οἰκείων τόπων καὶ τὴν πλείστην δύναμιν πρὸς τὸ σχῆμα τῆς γενέσεως ἔχοντα τούς τε συμμαρτυροῦντας αὐτῷ. περὶ δὲ τοῦ εὑρεθέντος κυρίου πῶς δεῖ σκέπτεσθαι, ἐν τοῖς ἑξῆς ῥηθήσεται*

---

1 ὁ (prius) om. D   5 cf. Iamblich., *De myster.*, IX, 5   7 τὸν om. DM   cf. *Comm. anon.*, p. 169 ; Boll, *Studien über Claudius Ptolemäus*, p. 118.   17 ὁμολογούμενον DM   19 προσυλλ. M : προσλαμβ. D   22 ἐὰν - πανσελήνου bis scr. D   23 γενομένου DM   28 ῥηθήσεται] ad pleniorem, nunc deperditam formam capituli 49 nos relegare videtur.

---

(1) Hic posuimus scholion alterum, quod Demophili verba (v. supra, p. 206, n. 1 et infra, p. 208,5) in codicibus DM sequitur : Σχόλιον. Σημειωτέον ὅτι οὐ μόνον τὴν φάσιν ἐπὶ ἀνατολῆς, ἀλλὰ καὶ ἐπὶ δύσεως δεῖ λαμβάνειν καὶ στηριγμοῦ · ἀλλὰ καὶ Δωρόθεος τὰς δυτικὰς φάσεις τῶν περιπολούντων ἀστέρων κελεύει ἐγκρίνειν.

καὶ ὅση ἡ ἐκ τούτου δύναμις. πολλὴ γὰρ ἡ περὶ τούτου ζήτησις καὶ σχεδὸν ἁπάντων δυσκολωτέρα. ἐνίοτε μέντοι γίνεται τὸν αὐτὸν εὑρεθῆναι κύριον καὶ οἰκοδεσπότην, ὅταν ὁ εὑρεθεὶς κύριος ὁ αὐτὸς ᾖ τοῦ ἐπικρατήτορος φωστῆρος οἰκοδεσπότης, ὅσπερ ἄρξει μεγάλου ἀποτελέσματος.

### 31. Περὶ ὑπακουόντων ζῳδίων.

193

Ὑπακούει ζῴδιον ζῳδίῳ ὡς Ζυγὸς Κριῷ, ὅτι ὁ μὲν Κριὸς αὔξει τὴν ἡμέραν, ὁ δὲ Ζυγὸς μειοῖ· Ἰχθύες Ταύρῳ, ὅτι ὁ μὲν Ταῦρος πλειόνων ἐστὶν ἀναφορῶν, οἱ δὲ Ἰχθύες ἡττόνων· ὁμοίως Ὑδροχόος Διδύμοις, Αἰγόκερως Καρκίνῳ, Τοξότης Λέοντι, Σκορπίος Παρθένῳ.

### 32. Περὶ ἰσοδυναμούντων ζῳδίων.

Ἰσοδυναμεῖν ἀλλήλοις λέγεται ζῴδια τὰ ἴσην ἔχοντα ἀναφοράν, κἂν ἐφεξῆς ἀλλήλοις ᾖ, ὡς Κριὸς καὶ Ἰχθύες, καὶ Παρθένος καὶ Ζυγός, κἂν διὰ γ' ἢ δ' ἢ ε' ἴσην ἀναφοράν, ὡς Ταῦρος καὶ Ὑδροχόος, Δίδυμοι καὶ Αἰγόκερως, Καρκίνος καὶ Τοξότης, Λέων καὶ Σκορπίος· ταῦτα δέ τινες μόνον ἀκούειν ἄλληλα λέγουσιν, οὐ βλέπειν δὲ ἄλληλα διὰ τὸ τῆς γῆς σκίασμα.

### 33. Περὶ βλεπόντων ζῳδίων καὶ μεγέθους ἡμέρας.

Βλέποντα δέ ἐστιν, ὅσα ἐν ἴσαις ὥραις ἀποδίδωσι τὰ τῶν ἡμε-

---

5 Capitulum, quod verbum ἀποτελέσματος sequitur in DM (om. S), Σχόλιον ἐκ τῶν Δημοφίλου nunc supra invenies, p. 206, 1 (Ἐπὰν-κάκωσιν) et p. 207, 1 (Σημειωτέον - ἐγκρίνειν); olim pars posterior Porphyrii inde ab his scholiis Demophili esse putabatur (Boll, *Studien über Claudius Ptolemäus*, *Neue Jahrb. Suppl.* XXI, 1894, p. 113; Bouché-Leclercq, *Astrol. gr.*, passim), postea hoc solum capitulum (Boll, *Realenc.*, V, p. 147; Ruelle, *Revue des études gr.*, XXIV, 1911, p. 334 ss.), sed ne hoc quidem recte: sunt enim duo scholia varia in deteriorem codicum classem recepta, quorum prius sub Theophili nomine e codice Marciano 334 (= Astrol. 7) edidit A. Olivieri, *Catal.*, II, p. 195. Incertum igitur est, utrum hoc scholion Theophilo excerpti Veneti, an Demophilo codicum Porphyrianorum tribuendum sit.
6 Πῶς ὑπακούει ζῴδιον ζῳδίῳ S cf. Bouché-Leclercq, p. 158 ss.
7 ζῳδίῳ ὡς scripsi: ζῳδίοις SM: ζῴδιον D 11 Παρθένῳ D: Αἰγοκέρωτι SM 12 Πῶς ἰσοδυναμοῦσιν ἀλλήλοις ζῴδια S 14 Παρθένος DM: Αἰγόκερως S 16 καὶ ante Διδ., Καρκ., Λέων del. Cumont 19-20 ζῳδίων - ἡμέρας om. S

*ρῶν καὶ νυκτῶν μεγέθη. ἐπεὶ γὰρ ἡ μεγίστη ἡμέρα ἐν τῷ ε′ κλίματι Ἡλίου ὄντος ἐν Καρκίνῳ ἐστὶν ὡρῶν ιε′, ἡ δὲ ἐλαχίστη ὄντος Ἡλίου ἐν Αἰγοκέρωτί ἐστιν ὡρῶν θ′, ἡ δὲ ἰσημερία κατὰ Ζυγὸν καὶ Κριόν· ἔσται ἐν Διδύμοις καὶ ἐν Λέοντι ἡ ἡμέρα ὡρῶν ιδ′, ἐν Ταύρῳ καὶ Παρθένῳ ὡρῶν ιγ′, ἐν Κριῷ καὶ Ζυγῷ ὡρῶν ιβ′, ἐν Σκορπίῳ καὶ Ἰχθύσιν ὡρῶν ια′, ἐν Ὑδροχόῳ καὶ Τοξότῃ ὡρῶν ι′. ἐστὶν οὖν τὰ βλέποντα ἄλληλα ζῴδια ταῦτα.*

### 34. *Περὶ ἀσυνδέτων ζῳδίων.*

*Ἀσύνδετα ἀλλήλοις δέ ἐστι τὰ μήτε κατὰ τοῦτον τὸν τρόπον, μήτε ἄλλως κατὰ σχῆμα ἄλληλα ἐφορῶντα.*

### 35. *Περὶ ἀποκλιμάτων.*

*Ἀποκλίματα καλεῖται δ′ τῶν κέντρων τὰ προάγοντα, ἐπαναφερόμενα δέ, ὁμοίως δ′ τὰ ἑπόμενα τοῖς κέντροις. ἀπηλιωτικὸν κλίμα πρὸς τὰς γενέσεις λέγουσι τὸ ἀπὸ τῆς ὡροσκοπούσης μοίρας ἐπὶ τὸ μεσουράνημα, νότιον δὲ τὸ ἀπὸ τῆς μεσουρανούσης ἄχρι τῆς δυνούσης, λιβικὸν δὲ τὸ ἀπὸ τῆς δυνούσης ἄχρι τῆς ὑπὸ γῆν, βόρειον δὲ τὸ ἀπὸ τῆς ὑπὸ γῆν ἄχρι τῆς ὡροσκοπούσης.*

### 36. *Περὶ χρηματιζόντων ζῳδίων.*

*Χρηματίζει πάσῃ γενέσει ζῴδια ζ′ κατὰ* < *Τίμαιον* >· *κέντρα μὲν δ′, τρίγωνα δὲ τοῦ ὡροσκόπου β′, πρὸς δὲ τούτοις ἡ ἐπαναφορὰ τοῦ μεσουρανήματος· τὰ δὲ λοιπὰ ἀχρημάτιστα. πολλάκις δέ, ἐὰν τοῦ ὡροσκοποῦντος ζῳδίου αἱ πλείονες μοῖραι προανενηνεγμέναι τύχωσιν, αἱ δὲ ἔσχαται ὡροσκοπῶσιν, ἔσται τὸ ἐπαναφερόμενον ζῴδιον συγχρηματίζον τῷ ὡροσκόπῳ.*

---

1 *ἡμέρα* S : *ὥρα* DM   1-2 *ἐν — κλίματι* om. DM   4 *ἡ* om. D   5 *Ταύρῳ* SD : *Αἰγοκέρωτι* M   8 *ζῳδίων* om. S   9 *δὲ* om. D   *τὸν* om. M   10 *ἄλλους* DM   11 doctrina est Timaei, quam Antiochus ex Hermete Trismegisto habuit. cf. Rhetor., *Catal.*, VIII, 3, p. 116, 9 ; Paul. Alex., P 3.   14 *τὸ* S : *τὰ* DM   16 *ἄχρι* om. D   16-17 *τοῖς ὑπὸ γῆν* S : *τῆς ὑπὸ γῆς* DM   17 *τοῦ ὑπογείου* D : *τῆς γῆς* M   18 *Περὶ τοῦ χρηματίζειν* S   cf. Rhetor., *Catal.*, I, p. 157, 14 ; VIII, 3, p. 116, 3.   19-20 *κατὰ κ(έν)τ(ρ)α* S : *κ(έν)τ(ρ)α* D : *κ(έν)τ(ρα) κ(έν)τ(ρα)* more astrologico M   *Τίμ.* suppl., cf. *Catal.*, VIII, 3, p. 116, 3   de Timaeo cf. Kroll, *Realenc.*, VI A, p. 1228.   20 *τῷ ὡροσκόπῳ* SDM : corr. Salmasius (*De annis climactericis*, p. 191)   23 *προανην.* SDM   *ἔσχατοι* D   24 *χρηματιζον* DM

37. *Περὶ σπορίμου ζῳδίου Ἡλίου.* 194

*Σπόριμον Ἡλίου λέγουσιν ζῴδιον ἐπὶ τῶν δεκαμηνιαίων τὸ εὐώνυμον αὐτοῦ τετράγωνον, ἐφ' ὃ πορεύεται· ἐκεῖ γὰρ αὐτοῦ ὄντος ἡ σπορὰ ἐγένετο· ἐπὶ δὲ τῶν ἑπταμηνιαίων τὸ διάμετρον.*

38. *Περὶ σπορίμου ζῳδίου Σελήνης.*

*Ἐπὶ δὲ τῆς Σελήνης ἄλλοι μὲν ἄλλο λαμβάνουσιν, Ἀντίοχος δέ φησι δύο ἐφόδους ἔχεσθαι τῆς ἀληθείας. θέασαι, φησί, πόστη τῆς Σελήνης γεγένηταί <τις> καὶ τούτῳ τῷ ἀριθμῷ πρόσθες ε' καὶ ἀνθυφαίρει ἀπὸ τοῦ μηνός, ἐν ᾧ γεγένηται ἡ ἀποκύησις ἀνὰ κθ' καί, εἰς ἣν ἂν λήξῃ ὁ ἀριθμός, ἐκείνη ἦν ἡ <ἡμέρα> τῆς συλλήψεως. ὅρα οὖν ἀναποδίσας εἰς τὸν κανόνα, ἐν ποίῳ ζῳδίῳ ἡ Σελήνη τότε ἦν. ὁ δὲ Πετόσιρίς φησιν, ὅτι ὅπου ἡ Σελήνη ἔτυχεν ἐπὶ τῆς σπορᾶς, τοῦτο τὴν ἀποκύησιν ὡροσκοπεῖ ἢ τὸ τούτου διάμετρον· ὅπου δὲ ἡ Σελήνη ἐπὶ τῆς ἀποκυήσεως ἔτυχεν, ἐκεῖνο τὴν σπορὰν φησιν ὡροσκοπηκέναι. ἔτι τὸν ὡροσκόπον τῆς σπορᾶς καὶ οὕτως τινὲς λαμβάνουσι· θέασαι, πόστη μοῖρα οὕτινος δηποτοῦν ζῳδίου τὴν ἀποκύησιν ὡροσκόπησε, καὶ τὰς ἀνενηνεγμένας πολυπλασίασον ἐπὶ τὸ τῶν ὡρῶν πλῆθος, καὶ συγκεφαλαιώσας ἀποδίδου ἀνὰ λ' ἀπὸ τοῦ ὡροσκοπηκότος ζῳδίου τὴν ἀποκύησιν καί, ὅπου δ' ἂν ἐμπέσῃ ὁ ἀριθμός, ἐκεῖνο ὡροσκόπησε τὴν τοῦ σπέρματος καταβολήν.*

39. *Περὶ δωδεκατημορίου.*

*Τὸ δωδεκατημόριον τῆς Σελήνης διχῶς λαμβάνεται. πρῶτον μὲν τοῦ ζῳδίου θεασάμενος πόσας μοίρας ἐπέχει ἡ Σελήνη, ἀπ'*

---

1 *ζῳδίου* om. S cf. Heph., II, 1, *Catal.*, VIII, 1, p. 141, 16 ; Rhetor., *Catal.*, VIII, 3, p. 116, 16 5 tit. om. S cf. Heph., II, 1, *Catal.*, VIII, 1, p. 142, 19 ; Rhetor., *Catal.*, VIII, 3, p. 116, 18 ; Bidez-Cumont, *Les Mages hellénisés*, II, p. 162 s. (Zoroastr. frg. O 15 a).
6 de Antiocho cf. Cumont, *Mélanges Bidez*, 1933, p. 135 ss. 8 *πόση* DM *ἡ Σελήνη* SDM : corr. ex Heph. suppl. 9 *ε'* SM : *ι'* D : *ϙπ'* Heph. (corr. ex *πϙ'* Cumont) : an hic quoque sic scribendum ? 10 *κθ'* SHeph. : *ιθ'* DM *ἂν* SD : *ἐὰν* M suppl. 12 *Πεττόσιρις* SDM frg. 14 a Riess 16 *οὕτω* DM 18 *ἀνηνεγμ.* SDM *πολλαπλ.* DM 20 *ἐμπέσῃ* Rhetor. : *ἐμπέσοι* S : *ἐκπέσῃ* DMHeph. 22 *Π. δ. τῆς Σελήνης* S cf. Rhetor., *Catal.*, VIII, 3, p. 116, 29 ; Ptol., *Tetrab.*, I, 22

*ἐκείνου ἐπιμέριζε ἀνὰ β∟' τοῖς ἑξῆς καί, ὅπου δ' ἂν λήξῃ ὁ ἀριθμός, ἐκεῖνο ἔσται τὸ δωδεκατημόριον. οἷον ἐπέχει ἡ Σελήνη Κριοῦ μοίρας ιγ', δώσω Κριῷ β∟', Ταύρῳ β∟', Διδύμοις β∟', Καρκίνῳ β∟', Λέοντι β∟'. ἔσται οὖν τὸ δωδεκατημόριον <ἐν> Παρθένῳ, οἴκῳ Ἑρμοῦ. ὁμοίως δὲ καὶ τοῦ Ἡλίου λαμβάνεται τὸ δωδεκατημόριον, κατὰ τὸν αὐτὸν τρόπον καὶ τοῦ ὡροσκόπου. ὅταν γὰρ θεάσῃ, πόστη μοῖρα ὡροσκοπεῖ, τὰς ἀνενηνεγμένας μερίσεις ἀνὰ β∟'. τινὲς δὲ ἄλλως λαμβάνουσι τὸ τῆς Σελήνης δωδεκατημόριον. ἰδὼν πόσας τοῦ Ἡλίου ἀπέχει μοίρας, ἐκ τούτων, ὅσας ἂν ἔχῃ τριακοντάδας, αἶρε, τὰς δὲ λοιπὰς <ἐπιμέριζε> ἀνὰ β∟', ἀφ' οὗ ἂν ἐπέχηται ἡ Σελήνη ζῳδίου· ἐὰν δὲ μὴ ἔχῃ τριακοντάδας ἀφελεῖν αὐτὰς τὰς ἀνὰ β∟', ἐπιμέριζε ταύτας. τὸν δὲ ὡροσκόπον πρὸς τὸν κανόνα ἐξακριβουμένους ὁρίζειν δεῖ.*

## 40. *Περὶ ἀρρενικῶν καὶ θηλυκῶν ζῳδίων.*

*Τὰ ἀρρενικὰ ζῴδια καθ' αἵρεσίν ἐστιν Ἡλίου, Διός, Κρόνου· ἔστι δὲ ἀρρενικὰ τὰ ἀπὸ Κριοῦ ἓν παρ' ἕν. τὰ δὲ θηλυκὰ Σελήνης, Ἄρεως, Ἀφροδίτης· ἔστι δὲ τὰ ἀπὸ Ταύρου ἓν παρ' ἕν. ἰδίως δὲ ἐξαίρετα τῶν μὲν θηλυκῶν Αἰγόκερως Κρόνου, Διὸς δὲ Ἰχθύες· τῶν δὲ ἀρρενικῶν Κριὸς Ἄρεως, Ζυγὸς δὲ Ἀφροδίτης· Ἑρμοῦ δὲ ἐξαίρετα Δίδυμοι, Παρθένος· κἀνταῦθα γὰρ τὸ κοινὸν ἔχει.*

## 41. *Περὶ τῆς τῶν ζῳδίων ἀναφορᾶς.*

*Τοὺς δὲ ζῳδιακοὺς χρόνους πρὸς τὰς ἀναφορὰς τῶν ζῳδίων λογίζονται. πᾶσα γὰρ μοῖρα ἑκάστου ζῳδίου χρόνον τινὰ ἰσχύει. οὐ συνεφώνησαν δὲ ἐν τούτοις ἀλλήλοις πάντες, ἀλλ' οἱ μὲν ἀρχαῖοι ἄλλως τὰς ἀναφορὰς ἐποιήσαντο. πάντες γὰρ σχεδὸν* 195 *ἐν τῷ δι' Ἀλεξανδρείας κλίματι καὶ τῶν ἔγγιστα κειμένων πόλεων τὸν Κριὸν ἀναφέρεσθαι ἔλεγον μοίρ. κα' μ', τὸν δὲ Ταῦρον κε' Ο', τοὺς δὲ Διδύμους κη' κ', Καρκίνον λα' μ', Λέοντα λε' Ο', Παρθένον λη' κ', Ζυγὸν λη' κ', Σκορπίον λε' Ο', Τοξότην λα' μ', Αἰ-*

---

2 *ἐκεῖ* DM  3 *δὸς* D  4 suppl.  5 *οἶκος* D  7 *ἀνηνεγμ.* SDM  10 suppl.  13 *ἐξακριβωμένους* DM  14 *ἀρσ.* D  *καὶ θηλυκῶν* om. S  15 *ἀρσ.* DM  16 *ἀρσ.* DM  *ἀπὸ τοῦ* DM  19 *ἀρσ.* DM  21 tit. om. S  cf. Hypsicl., *Anaphoricus*, p. xxix (ed. Manitius. 1888) ; Paul. Alex., B 3 ; Björnbo, *Realenc.*, IX, p. 430 s. (Rome)  27 *μοίρ.*] *ἐν χρόνοις* Salmasius (*De annis climact.*, p. 695)  *Ο'* scr. : *θ'* SDM  28 *λε' ο'* SDM  29 *λε' ο'* SDM

γοκέρωτα κη' κ', Ὑδροχόον κε' Ο', Ἰχθύας κα' μ'. Π τ ο λ ε μ α ῖ ο ς δὲ διὰ τοῦ κατ' Ἀλεξάνδρειαν κλίματος ἀναφέρεσθαι τὸν Κριὸν τέθεικε μοίρ. κ' νγ', τὸν δὲ Ταῦρον κδ' ιβ', τοὺς Διδύμους κθ' νε', τὸν Καρκίνον λδ' λζ', τὸν Λέοντα λε' λς', τὴν Παρθένον λδ' μζ', τὸν Ζυγὸν λδ' λζ', τὸν Σκορπίον λε' λς', τὸν Τοξότην λδ' λζ', τὸν Αἰγοκέρωτα κθ' νε', τὸν Ὑδροχόον κδ' ιβ', τοὺς Ἰχθύας κ' νγ'. πολὺ δὴ τὸ διάφορον, ὡς ἂν δὲ μή τις, οὐ γινώσκων τὴν ἐν τούτοις παραλλαγήν, ἀναγινώσκων δὲ τὰ τῶν παλαιῶν ἀναφορικὰ οἴεται δύνασθαι τοὺς αὐτοὺς χρόνους μερίζειν ταῖς Π τ ο λ ε μ α ί ο υ ἐφόδοις, ἁμάρτοι. ὅλως γὰρ δύο ταῦτα ἀναγκαιότατα ὄντα εἰς τὴν εὕρεσιν τῶν τῆς ζωῆς χρόνων, ἥτε τῶν ὁρίων τοῖς ε' πλανωμένοις διανέμησις ἥτε τῶν ἀναφορικῶν χρόνων τῶν ζῳδίων, διαπεφώνηται παρά τε τοῖς ἀρχαίοις καὶ τοῖς νεωτέροις. καὶ γὰρ Ἀ π ο λ λ ι ν ά ρ ι ο ς ἐν τῇ τῶν ὁρίων διατάξει διαφωνεῖ πρὸς Π τ ο λ ε μ α ῖ ο ν καὶ ἀμφότεροι πρὸς Θ ρ ά σ υ λ λ ο ν καὶ Π ε τ ό σ ι ρ ι ν καὶ τοὺς ἄλλους τῶν πρεσβυτέρων. καὶ περὶ τὰς ἀναφορὰς δὲ τῶν ζῳδίων ἐστὶν ἐν αὐτοῖς διαφωνία, ἣν δοκοῦσιν οἱ ν ε ώ τ ε ρ ο ι ἠκριβωκέναι διὰ τῶν γραμμικῶν ἐφόδων. ὅμως μέντοι αἱ ἐπαγγελίαι ἀπὸ τῶν ἀναφορικῶν εἰς τὰς τῶν χρόνων εὑρέσεις τοῖς παλαιοῖς γινόμεναι κατὰ τὰς οἰκείας διατάξεις τῶν ἀναφορῶν ἀκριβοῦσθαι ἐδόκει ἐν τῇ τῶν χρόνων εὑρέσει, ὡς οὐ μόνον ἔτη πλατικῶς οὐδὲ μῆνας ἀποφαίνεσθαι ἐπαγγέλλεσθαι, ἀλλὰ καὶ ἡμέρας καὶ ὥρας καίπερ μερίζοντες τὰ ἔτη ἀπὸ τῶν κατ' αὐτοὺς ἀναφορικῶν χρόνων καὶ τοὺς ἀναιρέτας ἢ ἀφέτας κανονίζοντες ἐκ τῶν παρ' αὐτοῖς ἀπονεμηθέντων ὁρίων τοῖς πλανωμένοις. δεῖ τοίνυν μὴ συγχεῖσθαι μηδὲ τὰ παρ' ἄλλων εἰς ἄλλον μεταφέροντα ἐξαμαρτάνειν τὴν ἔφοδον τὴν περὶ τῶν ζωτικῶν χρόνων τοῦ Πτολεμαίου ἐκ τῶν Πτολεμαίῳ ἀρεσκόντων περὶ τῶν ἀναφορικῶν καὶ τῶν ὁρίων ἀνιχνεύειν, οἷς ἐχρῆτο καὶ αὐτὸς ὁρίοις, καὶ τὰ ἄλλα ὁμοίως μετιέναι, ἐπεὶ

---

1 κε' ο' S : κη' ο' DM 1-2 Πτ. δὲ φησι SDM *Synt. math.*, II, 8 (p. 138 Hbg.) 4 λδ' λζ' D : λδ' μζ' SM 4-5 τὴν Παρθ. - Ζυγ. λδ' μζ' om. S (lac.) 4 τὸν om. M 6 λδ' λζ' D : λδ' μζ' SM 7 μήτις SDM : distinxit Rome 10 ἐφόδοις S 11 ἥτε γὰρ SDM 13 καὶ διαπεφ. SDM 14 cf. E. Honigmann, *Die sieben Klimata...*, 1929, p. 42 Ἀπολινάριος SDM de Apollinario cf. Val. p. 250, 21 ; *Catal.*, VIII, 2, p. 132, 1. 16 πεττόσ. SDM fr. 2-4 Riess τοὺς om. DM 18-19 γραμικῶν D : γραμικῶν M 22 πλατικῶν S : πλατυκῶς DM 26 μὴ S : πρὸς τὸ μὴ DM 27 ἄλλων S : ἀλλ' ἄλλων DM -φέροντες DM fors. recte ἔφοδον S : μέθοδον DM

*καὶ ἃ προείπομεν ὡς χρήσιμα εἰς τὴν τούτων ἀνάγνωσιν. εἴληπται μὲν ἡμῖν ἐκ τῶν παρὰ Χαλδαίοις εἰρημένων. ὅταν δὲ τὴν λέξιν τοῦ Πτολεμαίου ἐξετάζωμεν, πειρασόμεθα καὶ αὐτὰ ταῦτα δοκιμάζειν, εἰ κατὰ γνώμην ἔχει τοῦ Πτολεμαίου. ἐξηγησόμεθα τοίνυν, ὁτίποτε βούλεται αὐτοῖς τὸ ἐκ τῶν ἀναφορικῶν τὰ ἔτη πειρᾶσθαι τὰ βιώσιμα ἀνευρίσκειν τῶν γεννωμένων. τῆς γὰρ ὡροσκοπούσης μοίρας οὐκ ἀλλαχόθεν μάλιστα εὑρισκομένης ἢ ἐκ τῶν ἀναφορικῶν χρόνων, τῆς δὲ ζωῆς ἑκάστου δοκούσης αὐτοῖς ἀπὸ τοῦ κατὰ τὸν ὡροσκόπον σημείου ἐνδίδοσθαι, εἰκότως οὖν καὶ τὰ τοῦ σύμπαντος βίου χρονικὰ μεγέθη ἀπὸ τῶν τῶν ζῳδίων ἀναφορῶν λαμβάνειν ἔκριναν· οὐ γὰρ δὴ πρὸς καιρικῶν ὡρῶν λῆψιν ἁρμόζειν μόνον τὴν ἀπὸ τούτων μέθοδον, ἀλλὰ καὶ* 196
*πρὸς ἐνιαυσίους χρόνους ἐντεῦθεν ἐνεῖναι ἀκριβῶς λαβεῖν τὴν ἀπονέμησιν. ὑποστήσαντες γὰρ τὸ ζῴδιον λ' μοιρῶν ἕκαστον ὑπάρχον εἶναι λ' ἐτῶν, ὡς τὰς τξ' μοίρας τοῦ κύκλου ἔχειν χρόνους τξ', ὥστε τὴν μίαν μοῖραν εἶναι ἐνιαυτόν. ἐχρήσαντο δὲ τοῖς χρόνοις κατὰ τὰς ἀναφορὰς τῶν ζῳδίων, ὥστε τοῦ Κριοῦ ἀναφερομένου αὐτοῖς κατὰ τὸ δι' Ἀλεξανδρείας κλίμα μοίρας κα' μ' ἀναφέρεσθαι λέγειν αὐτὸν κατὰ τὴν ἑαυτοῦ ἀναφορὰν ἔτεσιν κα' καὶ μησὶν η'. διελόντες οὖν τοὺς κα' ἐνιαυτοὺς καὶ μῆνας η' εἰς μοίρας λ' τοῦ ζῳδίου εὗρον ἑκάστῃ μοίρᾳ ἐπιβάλλοντας μῆνας η' ἡμέρας κ'. ἐπεὶ δὲ ὁ Ταῦρος αὐτοῖς κατὰ τὸ αὐτὸ κλίμα ἀναφέρεται χρόνοις κε', τουτέστιν ἐτῶν κε', διαιρεθέντων τῶν κε' ἐτῶν εἰς τὰς λ' μοίρας τοῦ Ταύρου ἐπιβάλλουσιν ἑκάστῃ μοίρᾳ μῆνες ι'. εἰ μὲν οὖν αὐτοῖς σύμφωνος καὶ ὁ Πτολεμαῖος τὰ τῶν ἀναφορῶν πεπραγμάτευτο, ἐνῆν ἑτοίμως παρ' ἐκείνων λαβόντας τὰς διαιρέσεις τῶν χρονικῶν μεγεθῶν εἰς ἑκάστην μοῖραν ζῳδίων ἀπηλλάχθαι. ἐπειδὴ δὲ αὐτὸς παρηλλαγμένας τὰς ἀναφορὰς ὑπέδειξεν εἶναι, ἢ ἐκεῖνοι ᾠήθησαν, αὐτοὺς δεῖ διελεῖν κατὰ ἀναλο-*

---

4 *δοκιμάζειν* DM : *ἐξετάζειν* S *ἐξηγησόμεθα* DM 5 *ἀτίποτε* DM 6 *τῶν* S : *ἐπὶ τῶν* DM 7 *ἄλλοθεν* DM 8 *και τῆς ζωῆς δὲ* SDM 10-11 *ἀ. τ. τ. ζ. ἀν.* scr. : *τῆς ζωῆς ἀπὸ τῶν ἀναφ.* SDM 11 *δὴ* DM : *διὰ* S 13 *λαχεῖν* DM 16 *εἶναι μοῖραν* DM cf. Heph., *Catal.*, VIII, 2, p. 65, 14 ss. 18 *μοίρας*] *χρονους* Salmasius 19 *ἔλεγον* Salmasius *κη* M 20 *τὸν κα' ἐνιαυτὸν* SDM : corr. Salmasius 26 an *λαβόντα?* 27 *τὰς* ante *εἰς* SDM : del. *ζῳδίων* scr. : *πραγμάτων* SDM 28 *ἐπεὶ* DM 29 *δὴ* DM

*γίαν, ἣν αὐτὸς ἐπραγματεύσατο ἐν τοῖς Προχείροις κανόσι τῶν εἰς τὰς λ' μοίρας ἑκάστου ζῳδίου ἀναφορικῶν χρόνων.*

42. *Ἐν πόσοις χρόνοις ἑκάστη μοῖρα ἀναφέρεται καθ' ἕκαστον ζῴδιον.*

*Πόσων ἑκάστη μοῖρα ἀναφέρεται χρόνων, οὕτως εὑρίσκεται. ἐπεὶ γὰρ ἑκάστου ζῳδίου μοῖραί εἰσι λ', αἱ ἀναφοραὶ ἢ ὑπερβάλλουσιν ἢ ἐλλείπουσι· τοῦ μὲν γὰρ Κριοῦ ἀναφοραὶ διὰ τοῦ α' κλίματος τοῦ διὰ Μερόης μοιρῶν κδ' κ', τοῦ δὲ Ταύρου διὰ τοῦ αὐτοῦ κλίματος μοιρῶν λγ' κγ'. ἵνα δὴ γνῶμεν, πόσων ἑκάστη μοῖρα ἀναφέρεται, ἀναλύσωμεν εἰς ἑξηκοστὰ τὰς ὅλου τοῦ ζῳδίου ἀναφοράς. οἷον ἐπὶ τοῦ Κριοῦ τὰς κδ' κ' μοίρας ἀναλύσαντες εἰς ἑξηκοστά, τὰ πάντα εὑρίσκομεν λεπτὰ ͵αυξ'. ταῦτα δὲ μερίζοντες εἰς λ', τοσαῦται γὰρ ἑκάστῳ ζῳδίῳ εἰσὶ μοῖραι, εὑρίσκομεν ἑκάστην μοῖραν ἔχουσαν πρῶτα μη' λεπτὰ καὶ δεύτερα ἑξηκοστὰ μ'. κατὰ δὴ ταύτην τὴν ἀναλογίαν τοὺς τῶν ἀναφορῶν ἑκάστου ζῳδίου χρόνους εἰς ἔτη μεταλαβόντες ἢ μῆνας μοριάσομεν εἰς ἑκάστην ἡμέραν τοὺς ἐπιβάλλοντας ἢ μῆνας ἢ καὶ ἐνιαυτόν. ποιήσωμεν δὲ οὕτως· τὰς οὖν ἀναφορὰς τοῦ Κριοῦ κατὰ τὸ διὰ Μερόης κλίμα οὔσας μοιρῶν κδ' κ' πολυπλασιάζομεν εἰς τοὺς ιβ' μῆνας· γίνονται δὲ αἱ κδ' μοῖραι, λογιζομένης ἑκάστης εἰς ἐνιαυτὸν μῆνες σπη'· τὰ δὲ λεπτὰ κ' σκέπτομαι τί μέρος ἐστὶ τῆς ἑξηκοντάδος· ἔστι δὲ τοῦτο τὸ γ', ὅπερ ἐκ τοῦ ἐνιαυτοῦ ληφθὲν ποιεῖ μῆνας δ'. γίγνονται ἐπὶ τὸ αὐτὸ μῆνες σϙβ' καὶ μερίζω ἐπὶ τὸ τριακοντάμοιρον καὶ ἐπιβάλλουσιν ἑκάστῃ μοίρᾳ μῆνες θ' καὶ παραλείπονται μῆνες κβ', οὓς εἰς ἡμέρας ἀναλύσας ἔχω ἡμέρας χξ'· ταύτας πάλιν εἰς λ' μερίζω, καὶ ἀπαρτίζει ἐξ ἡμερῶν κβ', ὥστε ἐπιβάλλει ἑκάστῃ μοίρᾳ τῇ τε τοῦ Κριοῦ καὶ τῶν Ἰχθύων· εἰσὶ γὰρ* 197

1 *ἣν* S : *ὧν* DM *κανόσι* S p. 2 ss. ed. Halma (1823) 3 tit. om. S 5 post *Πόσων*] *γὰρ* SDM : del. *εὑρίσκεται*] scil. Syntaxi sive Canonibus Ptolemaei adhibitis (Rome) 6 *αἱ δ' ἀναφοραὶ* SDM 7 *τοῦ Κρ.* SDM *διὰ τοῦ* S : *τοῦ διὰ τοῦ* DM 8 omissa est hic maxima pars zodiaci cycli; praeterea secundum Ptolemaeum Tauri ascensio est *κζ' δ'*, et *λγ' κϛ'* (non *κγ'*) ad Cancrum pertinet (Rome) 9 *δὴ* S : *δὲ* DM 11 *μοίρας κ'* DM 14 *ἑξηκοστὰ* om. D *μ'* Rome : *κ'* SDM 16 *μερίσομεν* DM 19 *οὔσης* SM *πολλαπλ.* DM *πολ.*] *τὰς κδ' κ'* add. DM 20 *δὲ* S : *οὖν* DM *αἱ* om. M *μοῖραι* D : *ἡμέραι* SM *εἰς* om. M 22 *τοῦτο τὸ* om. D 24 *ἐπιβα*^λλ' S : *ἐπιβάλλει* DM 25 *εἰς* om. M

πανταχοῦ ἰσανάφοροι. ἐπιβάλλουσι οὖν ἐν τῷ κλίματι τῷ διὰ Μερόης ἑκάστῃ μοίρᾳ μῆνες θ′ ἡμέραι κβ′, ταῖς δὲ δυσὶ μοίραις τὰ διπλάσια, τουτέστι μῆνες ιη′ ἡμέραι μδ′, ταῖς δὲ τρισὶν ἔτη δύο μῆνες ε′ ἡμέραι ϛ′. ἡ δὲ αὐτὴ ἔφοδος καὶ καθ' ἕκαστον ζῴδιον ἔσται καὶ καθ' ἕκαστον κλίμα (1).

**43. Πῶς ἔνεστι τὴν διάκρισιν τῶν τε κέντρων καὶ ἐπαναφορῶν καὶ ἀποκλιμάτων μερικῶς διαθέσθαι.**

Ὁ Πτολεμαῖός φησιν ἐν τῷ περὶ χρόνων ζωῆς τόπους μὲν τοίνυν ἀφετικοὺς εἶναι νομιστέον τό τε περὶ τὸν ὡροσκόπον δωδεκατημόριον ἀπὸ ε′ μοιρῶν τῶν προαναφερομένων αὐτοῦ τοῦ ὁρίζοντος μέχρι τῶν λοιπῶν καὶ ἐπαναφερομένων μοιρῶν κε′. προαναφερομένας ἔλαβεν ἐπὶ τοῦ ὡροσκόπου καὶ κε′ ἑπομένας ὡς τοῦ δωδεκατημορίου λ′ μοίρας ἔχοντος. τοῦτο δ' ἐν τοῖς κλίμασι γίνεται, ὅτε τὸ ἰσημερινὸν σημεῖον ὡροσκοπεῖ, ἐπεὶ τὸ τῶν προστασσόντων ἡμικύκλιον τὸ ἀπὸ Κριοῦ μέχρι Παρθένου ὡροσκοποῦν ἀεὶ τὰ ἀπηλιωτικὰ τεταρτημόρια μείζονα ποιεῖ πάντως τῶν ϙ′ μοιρῶν, τὰ δὲ λιβικὰ ἐλάττονα. ἀνάπαλιν δὲ εἴ τι ὡροσκοπεῖ τῶν ὑπακουόντων, ἐλάττονα μὲν τὰ ἀπηλιωτικὰ ποιεῖ, μείζονα δὲ τὰ λιβικὰ τῶν ϙ′ μοιρῶν, καὶ δῆλον ὅτι δεῖ τὰς τοῦ τεταρτημορίου μοίρας τὰς ἀπὸ τοῦ μεσουρανήματος μέχρι

1 τῷ² codd. recc. ; H. Wolf : τοῦ SDM     2 ἐν ἑκάστῃ DM     3 τὸ διπλάσιον DM     τουτὶ DM     5 post κλίμα : Σχόλιον - ζωῆς DM (om. S) in nota posuimus     6 tit. om. S     8 μοιρικῶς M     9 *Tetrab.*, III, 11, 3     ἐν τῷ S : εἰς τὸ DM     11 ἐπαναφερ. DM     16 τῶν om. M     cf. Bouché-Leclercq, p. 267, 2     Παρθένου DM : Αἰγοκέρωτος S     19 μὲν om. D     21 μοίρας om. DM     ἀντιμεσουρανήματος S

(1) Σχόλιον. ὅπως μεριστέον τὰς ἀναφορὰς ἐκδιδάξει καὶ μὴν καὶ ὅπως τοὺς ὡριαίους χρόνους· καὶ γὰρ ἐκ τούτων τὰ ἔτη σκέπτονται. ἐν παντὶ δὲ κλίματι καθ' ἕκαστον ζῴδιον καὶ μοίραν ἑκάστην παράκεινται ὡριαῖοι χρόνοι, ὧν κατὰ μεταφορὰν ἀξιοῦσι λαμβάνειν τὰ ἔτη καὶ τοὺς μῆνας καὶ ὅταν ἡμερινὸν μὲν ᾖ τὸ θέμα, λαμβάνουσι τοὺς παρακειμένους τῷ ἀστέρι ὡριαίους χρόνους, ὅταν δὲ νυκτερινὸν ᾖ, τοὺς ἐν διαμέτρῳ. ἔσται δὲ σαφῆ ταῦτα προιόντος τοῦ λόγου εἰς τὸ περὶ χρόνων ζωῆς.

1-8 Σχόλιον - ζωῆς om. S

τοῦ ὡροσκόπου τέμνειν εἰς τρία καὶ τὸ τρίτον ἀπονεῖμαι τῷ ὡροσκόπῳ καὶ τῆς ποσότητος ταύτης τὰς ε' μοίρας λαβεῖν προαναφερομένας, τὰς δὲ λοιπὰς ἑπομένας ἔχειν, καὶ ὁμοίως καὶ ἐπὶ τῶν λοιπῶν τεταρτημορίων ποιεῖν. εἰ δέ τις λέγει τῆς ἑκάστῳ τόπῳ ἀνηκούσης ποσότητος τῶν μοιρῶν τὸ ς' δεῖν προανενηνέχθαι, οὐκ ὀρθῶς οἴεται. ἔστω γὰρ εἰ τύχοι τὸ μεταξὺ τοῦ μεσουρανήματος καὶ τοῦ ὡροσκόπου μοιρῶν οβ', τὸ δὲ ἑξῆς τεταρτημόριον δηλονότι ρη' · ἔσται οὖν τὰ μὲν ς' ἀπὸ κδ' τὰ δὲ ς' ἀπὸ λς' μοιρῶν. αἱ τοίνυν πρὸ τοῦ μεσουρανήματος μοῖραι δ' ἔσονται, εἴκοσι δὲ ἑξῆς καὶ ἔτι τοῦ ια' καὶ ιβ', μη', καὶ παραλείψονται πρὸ τοῦ ὡροσκόπου μόναι δ'. ἦσαν γὰρ αἱ πᾶσαι οβ', ὧν ξη', λοιπαὶ δ', ἃς ἕξει ὁ ὡροσκόπος. δέον κατὰ τὴν μέθοδον σχεῖν ς' · τῶν γὰρ λς' τὸ ἕκτον ς'. ἀδύνατος οὖν ἡ τοιαύτη μέθοδος, ἀλλ' οὐδὲ ταῖς ἀναφοραῖς οἷόν τε χρῆσθαι 198
ὥστε ἀπονέμειν ἑκάστῳ τόπῳ λ' · τῆς γὰρ ς' μοίρας τῶν Ἰχθύων ἀνατελλούσης ἐν τῷ ε' ἢ ς' κλίματι μέχρι τοῦ ὑπὸ γῆν μεσουρανήματος αἱ ἀναφοραὶ μόλις εἰσὶν ξ', καὶ οὕτως οὐχ ἕξομέν τι δοῦναι τῷ τρίτῳ τόπῳ. ὥστε οὐδὲ τοῦτο δυνατόν, ἀλλ' οὐδὲ τὸ λ' μοίρας ἑκάστῳ νέμειν δυνατόν. πάλιν γὰρ Ὑδροχόου ἀνατέλλοντος καὶ Τοξότου μεσουρανοῦντος μεταξὺ εὑρίσκονται μοῖραι ο', ἔδει δὲ ϙ', εἴπερ ἕκαστον ἕξει μοίρας λ'. ἐξ ἀνάγκης οὖν περιλείπεται τὸ ε' μοίρας προαναφέρεσθαι τοῦ ὡροσκοποῦντος κέντρου, τὴν δὲ ἐποφειλομένην λοιπὴν ποσότητα ἕπεσθαι τὴν ἐκ τοῦ κατὰ τὸ τεταρτημόριον μερισμοῦ.

44. Περὶ τοῦ ποῖον μέλος τοῦ σώματος ἕκαστον τῶν ζῳδίων κεκλήρωται.

Ἔτι δὲ τῶν ζῳδίων ἕκαστόν τι κεκλήρωται τῶν τοῦ σώματος μελῶν, ἃ προειδέναι χρή, ὅταν περὶ σίνους λέγωσι · Κριὸς κεφαλήν, Ταῦρος τένοντα καὶ τράχηλον, Δίδυμοι ὤμους καὶ βραχίονα, Καρκίνος στῆθος καὶ πλευράς, Λέων τὸ διάφραγμα καὶ τὸν στόμαχον καὶ τὴν γαστέρα, Παρθένος ὑποχόνδρια καὶ λαγόνας, Ζυγὸς

---

1 τὸ τρίτον S : τοῦτο DM   2 λαχεῖν DM   5 δεῖν om. DM   προανηνέχθαι SDM   6 τύχη DM   8 ς' SM : γ' (utrumque) D   μοιρῶν om. DM   10 πρός M   14 Ἰχθύων S : ἀστέρων DM   21 ὡροσκόπου DM   24 - 219, 21 (cc. 44-45) Περὶ τοῦ - γυναικῶν om. S   cf. Rhetor., *Catal.*, VIII, 3, p. 113, 8 ; Sext. Empir., *Adv. math.*, V, 21 ; Bouché-Leclercq, p. 319 s. ; Boll, *Sphaera*, p. 479 s. ; Cumont, *Revue archéol.*, 1916, I, p. 1 ss. ; supra, p. 166 s.   27 μέλο. DM : corr. Cumont   λέγουσι DM

νεφροὺς καὶ γλουτούς, Σκορπίος αἰδοῖα καὶ τοὺς κρυπτοὺς καὶ γονίμους τόπους, Τοξότης γόνατα, κατὰ δ' ἐνίους καὶ βουβῶνα καὶ ἀγκώνων καμπάς, Αἰγόκερως ὀσφὺν καὶ ἰσχία, Ὑδροχόος κνήμας καὶ σφυρά, Ἰχθύες πόδας.

15. *Π ο ί ω ν ἕ κ α σ τ ο ς τ ῶ ν ἀ σ τ έ ρ ω ν κ υ ρ ι ε ύ ε ι μ ε ρ ῶ ν.*

*Κατὰ ταῦτα δὲ καὶ τοὺς ἀστέρας κεκληρῶσθαί φασι τῶν μὲν ἐντὸς Κρόνος τὴν φλεγματώδη ὑγρότητα καὶ βρόγχον καὶ λύσιν ἐντέρων · Ζεὺς δὲ ἧπαρ καὶ τὴν περὶ αὐτὸ εὐτροφίαν καὶ τὰ ὑπὸ τὸν στόμαχον νεῦρα · Ἄρης δὲ αἷμα καὶ νεφροὺς καὶ τοὺς σπερματικοὺς πόρους · Ἀφροδίτη δὲ πνεύμονα καὶ χολήν · Ἑρμῆς δὲ ἀκοὴν καὶ ἀρτηρίαν καὶ γλῶσσαν · Ἥλιος δὲ καρδίαν καὶ πνευματικὴν θέσιν, τουτέστιν αἰσθητικὴν κίνησιν, καὶ ὅρασιν ἐπ' ἀνδρὸς μὲν τὴν δεξιάν, ἐπὶ δὲ θηλείας τὴν εὐώνυμον · Σελήνη δὲ κοινῶς μὲν ὅλον τὸ σῶμα, ἰδίως δὲ σπλῆνα καὶ μήνιγγας καὶ μυελὸν καὶ ὅρασιν ἀνδράσι μὲν εὐώνυμον, γυναιξὶ δὲ δεξιάν. ἐπὶ δὲ τῶν ἐκτὸς Κρόνος μὲν ἄρχει χρονίων πραγμάτων, ὑγρότητός τε καὶ ψύξεως καὶ παλαιῶν ἔργων καὶ ἀποθησαυρισμῶν, θεμελίων τε καὶ ἐγγείων, ἀρχαίων τε καὶ πρεσβυτέρων καὶ ἀσπέρμων καὶ ἀτέκνων προσώπων,*

---

1 *νεφροὺς* om. D (lac.)  2 *βουβῶνα* Cumont : -ας DM  5 cf. Rhetor., *Catal.*, VIII, 3, p. 113, 10 ; Cumont, *Mélanges Bidez*, 1933, p. 155 s.  *Περὶ ποίου ἐκ τ. ἀ. κ. τῶν μ. τοῦ σώματος* cod. Baroccianus 94, f. 111ᵛ (= B)  *ποίων* codd. recc. : *ποῖος* DM  7 *Κατὰ - φασι* om. B  *τῶν* B : *τὸν* DM  8 *ἐντὸς*] *τοῦ ἀνθρώπου* add. B  *βρόγχον* B : *βρόχον* DM  8-9 *κύστιν, ἔντερα* coni. Cumont  9 *τῶν ἐντ.* B  *ὁ Ζ. τὸ ἧ. κυριεύει κ. τ. π. αὐτῶν εὐστροφίαν* B  *τὰ* MB : *τὸ* D  10 post *στόμ.*] *καὶ* add. DM  *ὁ Ἄ.* (*δὲ* om.) B (et sic deinceps)  10-11 *τὸν σπερματικὸν πόρον* B  11 *σπόρους* D  *ἡ Ἀ. κυριεύει πνεύμονας* B  12 *κ. ἀρτ.* om. B  *τὴν καρδ.* B  13 *θέσιν* B : om. DM  *ὅρ.*] *καὶ* add. B  13-14 *ἀνδρῶν ... θηλύων* B  15 *σῶμα*] *κυριεύει* add. B  *μυελοὺς* B  16 *καὶ ἐπὶ μὲν ἀνδρῶν τὴν εὐ., ἐπὶ δὲ γυναικῶν τὴν δ.* B  *ἐπὶ δὲ κτλ.* : cf. *Catal.*, XI, 2, p. 109 (= H) ; Rhetor., *Catal.*, VIII, 3, p. 111, 5 ; Cumont, *l. c.*, p. 149 ss.  *Περὶ τῶν ἐκτὸς τοῦ σώματος* B : *Τὰ ἐκτὸς* H  *ἐπὶ* DMB : *ἐκ* H  *τῶν* DMH : *τὰ* B  17 *ὁ Κρ.* B  *καὶ ὁ. κ. ψ.* B  18 *παλαιῶν* BRhet. (Wolf i. m.) : *πασῶν* DM : *κακῶν* H  18 *ἀγγείων* H  19 *ἀσπέρμων* HB : *σπερμάτων* DM

*πλεόντων, τελειότητος καὶ βαθείας πονηρίας καὶ ἐνδομυχίας καὶ συκοφαντίας καὶ βασκανίας καὶ φθόνου καὶ μόχθου καὶ βλοσυρότητος καὶ εἱργμῶν καὶ κομοτροφίας καὶ βδελυρίας καὶ πάσης στυγνότητος καὶ βασάνων ὀξέων. ἐν μὲν ἰδίοις τόποις χρηματίσας καὶ λαμπήναις καὶ καλῶς σχηματισθεὶς πρὸς τὴν γένεσιν ὠφελεῖ ἀπ' ἀλλοτρίας βλάβης τὰς αὐξήσεις προσάγων, κακῶς δὲ σχηματισθεὶς μόχθους καὶ συμφορὰς ἐπάγει · καλεῖται δὲ Φαίνων. ὁ δὲ τοῦ Διὸς ἀφηγεῖται μεγαλοπρεπείας, δόξης, σεμνότητος, ἀπολαύσεώς τε καὶ εὐτροφίας, ἀρχῆς τε καὶ τιμῆς, εὐτεκνίας τε καὶ τῆς παρ' ἡγεμόσι καὶ ὄχλοις ἀποδοχῆς · καλεῖται δὲ Φαέθων. ὁ δὲ τοῦ Ἄρεως διάπυρός τέ ἐστι καὶ αἱματώδης, καυτηρίῳ τε προσόμοιος ὢν ἀφηγεῖται τοῦ ἐν ἡμῖν θερμοτάτου αἵματος, ὥς* 199 *εἴρηται, καὶ σπερματικῆς ὁρμῆς καὶ συλλημμάτων γυναικείων, ἐνεργείας τε καὶ κινδύνων καὶ θυμοῦ καὶ ὀργῆς καὶ θράσους καὶ βίας καὶ παραβόλων πραγμάτων καὶ παθῶν ὀξέων, στρατείας τε καὶ πολέμου καὶ σιδήρου χρήσεως καὶ τραυμάτων καὶ πάντων τῶν μετ' ὠκύτητος καὶ ἐκπλήξεως γινομένων · καλεῖται δὲ Πυρόεις. ὁ δὲ Ἥλιος πνεύματος ἄρχει καὶ τῆς ἐν ἡμῖν αἰσθητικῆς ψυχῆς καὶ πνευματικῆς κινήσεως καὶ πατρικοῦ ἢ ἡγεμονικοῦ προσώπου. ὁ δὲ τῆς Ἀφροδίτης παρακείμενος μὲν τῷ Ἡλίῳ, μέγεθός τε ἔχων καὶ φωτιζόμενος ὑπ' αὐτοῦ τῇ λαμπηδόνι, ἐπεὶ ὁ μὲν αἴθαλος, ἅτε καιομένου πυρός, ὑπὲρ τὸ ὑποκείμενον ταύτης*

---

1 *πλ.* om. B *τελειότητος* HB : *τελειότητας* DM *ἐνδονυχίας* H : *ἐνδομοίχου* B 2 *κ. συκ. κ. β.* om. B *φόνου* B 2-3 *βλοσσυρ.* DM 3 *κακοτροφίας* H *κομ.*] cf. Cumont, *L'Égypte des astrologues* p. 150, 3 *βδελλυρ.* DMH 3-4 *βδ. κ. π.* om. B 4 *ὀξέων* Cumont (cf. p. 218, 15) : *ἐξ ὧν* DMH : om. B *τοῖς ἰ. τ.* B 5 *κ. λαμπ. κ. καλ.* B (Cumont) : *κ. καλ. κ. λαμπ.* DMH 7 *ἐπάγει* HB : *ἐπάγων* DM 7 s. de planetarum nominibus cf. Cumont, *L'Antiquité Classique*, IV, 1935, p. 5 ss. ; *Les Mages hellénisés*, I, p. 136 ss. 8 *ὁ δὲ Ζεὺς ἀφηγεῖται* B *ἡγεῖται* DMH *μ. καὶ δ.* H 9 *ἀρχήν ... τιμήν* B 10 *ἀπὸ δόξης* H 11 *ὁ δὲ Ἄ.* B 12 *ἀφηγ.* B (Cumont) : *γὰρ* add. DMH 12-13 *ὡς εἰρ.*] p. 217, 10 13 *συλλημμάτων* Cumont : *συλλημμῶν* DMB : *συλλησμῶν* H : *συλλήψεων* Wolf i. m. *γυν. συλλ.* HB 14 *ἐν. τε* om. H *θερμοῦ* B 15 *καὶ* ante *παραβόλων* om. HB 16 *καὶ* ante *πολ.* om. B 17 *γινομένων* HB : *γενομένων* DM 18 *πυρρόεις* D *ὁ δὲ Ἥ.* HB : *ὁ Ἥ. δὲ* DM 19 *ψυχῆς* om. B (fortasse recte) *κιν. πνευμ.* H *ἢ* DMH : *καὶ* B 20 *τ. Ἀ.* post *Ἡ.* B 22 *ἅτε* DMH : *ὅτε* B *αἰθ.* post *πυρός* H *ἐπὶ τὸ ὑπερκείμενον* B

πλάτος <λάμπει>, εὐειδέστατος καὶ λαμπρὸς ὁρᾶται · ὅθεν διὰ μὲν ἱλαρότητα τοῦ φωτὸς ἄρχει εὐμορφίας, εὐπρεπείας, καθαριότητος, λαμπηδόνος βίου, εὐκοσμίας, στεφανηφορίας, ἱερατείας, χρυσοφορίας, τρυφερότητος · διὰ δὲ τὸ συμπαρεῖναι καὶ αὐτὸν τῷ ψυχικῷ τοῦ κόσμου στοιχείῳ καὶ συμπαθείας ἀπ' αὐτοῦ λαμβάνειν αὐγῆς, ἄρχει φιλοστοργίας, ἔρωτος, ὀρέξεως, γάμου, θρησκείας, εὐμουσίας καὶ τῶν κοσμικῶν ἀρχῶν καὶ θεατρικῶν, τῶν τε συνοίκων καὶ θηλυκῶν προσώπων, μητρός, ἀδελφῆς καὶ θυγατρός · καλεῖται δὲ Φωσφόρος. ὁ δὲ τοῦ Ἑρμοῦ συναπτόμενος τῷ Ἡλίῳ παλμώδης μὲν φαίνεται καὶ σπανιώτερον ὁρᾶται · ἅσσον δὲ ἀεὶ τῆς τοῦ Ἡλίου προσαυγῆς τεταγμένος καὶ πλειστάκις ἀνατέλλων καὶ δύνων ὑπὸ τὰς αὐγὰς ἄρχει γε, οἷα δὴ τῷ ἡγεμονικῷ παρακείμενος, ψυχικῆς κινήσεως ἄρχοντι στοιχείῳ, φρονήσεως καὶ λόγου καὶ ἐπιστήμης, καὶ ὅσα λόγῳ διοικεῖται, παιδείας, ἐμπορίας, πραγματείας, φιλίας, κοινωνίας, συναλλάγματος, ἑταιρείας, ὑπηρεσίας, ἔτι δὲ καὶ νεωτέρων προσώπων, τέκνων τε καὶ θρεμμάτων · καλεῖται δὲ Στίλβων. ἡ δὲ Σελήνη περιγειοτάτη ὑπάρχουσα καὶ τὰς πάντων ἀπορροίας δεχομένη τῷ ἑαυτῆς μεγέθει καὶ διακονοῦσα πρὸς τὴν <γῆν> ὑποκειμένην, ἄρχει τοῦ παντὸς ἡμῶν σώματος καὶ τῆς περὶ αὐτὸ ὑγείας καὶ καταστάσεως καὶ μητρὸς καὶ ἡγεμονικῶν γυναικῶν.

46. *Περὶ ὧν ἱματισμῶν καὶ βαφῆς κυριεύουσιν ἢ χροιᾶς.*

Ὁ Κρόνος βαφῆς καστοριζούσης κυριεύει · ὁ Ζεὺς γαλαϊζούσης

---

1 suppl. Cumont λαμπρὸς B : καλὸς DMH 2-3 καθαριότητος BRhet. (Cumont) : καθαρότητος DMH 3-4 ἱ. χ. om. B 4 αὐτῷ B 5 ψυχρῷ B 6 αὐγῆς B : αὐγάς DMH 7 τῶν[1] om. B. ἀρχῶν DMH : τεχνῶν B 8 μητρὸς om. B 9 συναπτόμενος BRhet. (Cumont) : συνεπόμενος DMH 10 μὲν DMH : δὲ B σπανιώτερον B (Cumont) : ἐπανιώτερος DM : σπανιώτερος H ἅσσον DMH : ἔνι B 11 προσαυγῆς HB : πρὸς αὐτοῦ DM 12 γε Cumont : γὰρ DMHB 12-13 τῷ ἡγεμονικὸν παρακείμενον ... στοιχεῖον B 14 ἐμπορείας MHB 15 πράγματος B ἑτερείας H 16 δὲ om. B θρ.] θελγμάτων B 17 ss. cf. p. 217, 14 ss. προσγειοτάτη οὖσα B 18 ἑαυτῆς DMH : ταύτης B 19 suppl. Cumont 20 αὐτοῦ B 21 deficit B 22 redit S Ἔχουσι δὲ οὗτοι καὶ τοιαύτας βαφάς H : om. S cf. Boll, *Antike Beobachtungen farbiger Sterne*, *Abh. Akad. Münch.* XXX, 1918, p. 20 ss. ; 156. 23 ἢ M : καὶ D 24 καστ.] ἢ μολιβδίνης add. H 24 κυριεύει om. DMH καλλαϊζούσης Salmasius (cf. Stephanus, s.v. κάλαις) γαλ.] ἤγουν πρασίνης add. H

*καὶ ἐπὶ τὸ λευκὸν ῥεπούσης μικρόν· ὁ Ἄρης πυρίνης, φλογίνης ἀληθινῆς· ὁ Ἥλιος χρυσοκιτρίνης· ἡ Ἀφροδίτη λευκῆς χροιᾶς· ὁ Ἑρμῆς κυανῆς· ἡ Σελήνη πρασίνης.*

## 47. Περὶ τῶν λς' δεκανῶν καὶ τῶν παρανατελλόντων αὐτοῖς καὶ προσώπων.

*Τοῦ ζῳδιακοῦ κύκλου εἰς ιβ' τμήματα τετμημένου, τουτέστιν εἰς ιβ' ζῴδια, ἕτερα τμήματα λς' ὑπέθεντο οἱ παλαιοί, οὕστινας ἐκάλεσαν δεκανούς, καὶ τούτους κατεμέρισαν κατὰ ζῴδιον δέκα μοιρῶν ἄρχειν, διὸ καὶ δεκανοὶ καλοῦνται. ὑπόκεινται δὲ τούτοις τοῖς δεκανοῖς οἱ προειρημένοι ἐν τῷ ζῳδιακῷ κύκλῳ παρανατέλλοντες, ἔχουσι δὲ καὶ πρόσωπα τῶν ζ' ἀστέρων, ἅτινα συμπάθειαν* 209 *ἔχουσι πρὸς τοὺς ἐπικειμένους αὐτοῖς ἀστέρας. οἷον ὑπόθου τὸν Ἥλιον εἶναι Κριοῦ μοίραις ι' δεκανῷ πρώτῳ, προσώπῳ Ἄρεως· ἐπεὶ οὖν εἰρήκαμεν τὸν Ἥλιον σημαίνειν τὰ ψυχικά, εὑρήσεις τὴν ψυχὴν τοῦ τοιούτου ἔπανδρον, θυμικήν, πολεμοχαρῆ, φίλοπλον καὶ τὰ ὅμοια. ὑπόθου δὲ πάλιν εἶναι τὸν Ἥλιον Κριοῦ μοίραις κ' δεκανῷ δευτέρῳ, προσώπῳ Ἡλίου, σημαίνει τὸν τοιοῦτον εἶναι λαμπρὸν τὴν ψυχὴν καὶ φιλόδοξον καὶ φιλότιμον καὶ οὐκέτι πολεμοχαρῆ. ὑπόθου δὲ πάλιν εἶναι τὸν Ἥλιον Κριοῦ μοίραις λ' δεκανῷ γ', προσώπῳ Ἀφροδίτης, σημαίνει δὲ τὸν τοιοῦτον εἶναι θηλυκό-*

---

1 *καί* om. DMH  2 *ἀληθινῆς* om. H  Venus hoc loco H : inter Saturnum et Iovem SDM  *ἡ Ἀφροδίτη* DMH : *ὁ Ἑρμῆς* S  3 *ὁ Ἑ. κ.* H : om. SDM  *πρασίνης* H : *πράσινον* SDM  deficit H  4 incipit L  tit. om. S  cf. Gundel. *Dekane u. Dekansternbilder, Stud. Bibl. Warburg.* XX. 1936. p. 248 ss.  5 *καὶ* LM : om. D (cf. Salmasius, *De annis climactericis*, p. 554)  6 *τμήματα* LS : *ζῴδια* DM  7 *ἕτερα* LSM : *ταῦτα δὲ εἰς* D  8 *κατεμ.* LS : *ἐμέρ.* DM  9 *μοίρας* LD  *δεκανὸς καλεῖται* LDM  *δὲ* LS : om. DM  10 *προειρ.*] haec nunc desunt  *προειρ.* LS : *εἰρ.* DM  12 *προειρημένους ἢ ἐπικειμένους* L  13 *μοίρας δεκανοῦ α' πρόσωπον* L  14 *εἰρ.*] c. 45  15 *τ. τ. ψ.* L  *φίλοπλον* LS : *φιλότιμον* DM  16 *τ. Ἡ.* LS : om. DM  *τοῦ Κριοῦ* DM  *μοίρας* L  *εἶναι* om. L  17 - 18 *λ. εἶν.* DM  18 *τῇ ψυχῇ* L  *φιλότ. κ. φιλόδ.* DM  *οὐκέτι* LS : *οὔτοι* DM  18-19 *πολεμοχαρεῖς* D  19 *δὲ π. εἶν* om. L  *τ. Ἡ. εἶν.* DM  *μοίρας* L  20 *εἶναι* om. L

ψυχον, θηλύμορφον, ἔπαισχρον, λάγνον καὶ τὰ ὅμοια. ὅρα πῶς ἐν ἑνὶ ζῳδίῳ τρεῖς διαφοραὶ περὶ τὰ ψυχικὰ μόνον ὑπεδείχθησαν. ἔγκειται δὲ καὶ τῶν δεκανῶν καὶ τῶν παρανατελλόντων αὐτοῖς καὶ τῶν προσώπων τὰ ἀποτελέσματα παρὰ Τεύκρου τοῦ Βαβυλωνίου.

## 48. Περὶ <τῶν> τῶν ἀπλανῶν λαμπρῶν ἀστέρων καὶ τῶν παρανατελλόντων δυνάμεων.

Ὁ τύπος τῶν ζῳδίων καὶ τῶν παρανατελλόντων ἀπὸ τῆς τῶν ἀστέρων συνθέσεως συνέστηκεν. ἔχουσιν οὖν ἐν ἑαυτοῖς λαμπροὺς ἀστέρας καὶ ἀμυδροὺς καὶ στυγνοτέρους. τούτους τηρήσαντες οἱ παλαιοὶ εἶπον τοὺς μὲν λαμπροτάτους αὐτῶν μεγέθους πρώτου, τοὺς δὲ ἀμυδροτέρους μεγέθους δευτέρου, τοὺς δὲ στυγνοτέρους μεγέθους τρίτου καὶ ἑξῆς ἀκολούθως εὗρον αὐτοὺς ἕως τοῦ ἕκτου μεγέθους καὶ τῆς τῶν πλανητῶν κράσεως κεκοινωνηκότας, καθὰ προειρήκαμεν, καὶ τοὺς μὲν αὐτῶν ἐν τῷ ζῳδιακῷ κύκλῳ τετυχηκότας, τοὺς δὲ βορειοτέρους τοῦ ζῳδιακοῦ, τοὺς δὲ νοτιωτέρους. τηρήσαντες οὖν τοὺς λαμπροτέρους αὐτῶν ἀστέρας εὗρον λαμπροὺς λ' τοῦ πρώτου καὶ τοῦ δευτέρου μεγέθους τετυχηκότας. ἐπὰν οὖν οὗτοι εὑρεθῶσιν ἐπὶ τοῦ ὡροσκόπου ἰσομοίρως ἢ ἐπὶ τοῦ μεσουρανήματος ἢ τὸν Ἥλιον ἢ τὴν Σελήνην σχηματίζοντες ἢ μετά τινος ἀστέρος, ἀλλοιοῦσι τὴν γένεσιν κατὰ τὴν προσήκουσαν αὐτοῖς κρᾶσιν. οἷον εἰ μὲν κράσεως ἐστὶν ἀγαθοποιοῦ, ἀγαθώτερα ὄντα τὰ τῆς τύχης, εἰ δὲ κακοποιοῦ, χείρω.

---

6-8 tit. om. S 6 suppl. Boll 9 Ὁ τύπος ὁ L 12 cf. *Catal.*, V, 1, p. 212 ss. ; Boll, *Realencycl.*, VI, p. 2419 ; *Antike Beobachtungen farbiger Sterne*, *l.c.*, p. 71 ss. αὐτ. εἶναι μεγ. L 14 εὗρ. αὐτ. post μεγ. L 16 προειρ.] haec non nisi breviter attingit, p. 195, 6 ss. 18 ἀστέρας om. S 19 τοῦ δευτ. LS : δευτ. DM μεγέθους L : om. SDM 20 ἐπὶ τῷ ὡροσκόπῳ L 21 ἐπὶ τῷ μεσουρανήματι L 22 σχημ. om. L 24 ἀγαθώτερα LDM : -ον S τύχης Cumont : ψυχῆς LSDM χεῖρον L post χ.] εὑρήσεις δὲ τὰ ἀποτελέσματα ἐν τοῖς ἑξῆς add. L

49. *Περὶ τῶν ὁρίων κατ' Αἰγυπτίους καὶ Πτολεμαῖον καὶ λαμπρῶν καὶ σκιαρῶν μοιρῶν.*

*Πάλιν οἱ παλαιοὶ εἰς ἡμίσεις χώρας ἢ τόπους τέμνοντες ἕκαστον ζῴδιον ὠνόμασαν ὅρια οὐ κατὰ τὰς ἴσας μοίρας, ὡς ἐπὶ τῶν δεκανῶν εἰρήκαμεν, ἀλλὰ διαφόρως κατὰ ἄλλην αἰτίαν, ἥντινα ὑπέθεντο ἐν ταῖς τῶν ἀστέρων τελείαις περιόδοις. περιόδους δὲ λέγω ἅστινας ἐν τοῖς ἔμπροσθεν εὑρήσεις· αὗται δὲ αἱ μοῖραι τῶν ὁρίων αἱ κατὰ ζῴδιον κείμεναι. τινὲς μὲν αὐτῶν εὑρίσκονται Διός, ἄλλαι δὲ Ἀφροδίτης, ἄλλαι δὲ Κρόνου καὶ ἄλλαι τῶν λοιπῶν πλανήτων. ὅταν οὖν τις τῶν ἀστέρων εὑρεθῇ ἐν οἴκῳ ἀγαθοποιοῦ καὶ ἐν ὁρίοις ἀγαθοποιοῦ λόγον ἔχων πρὸς τὴν γένεσιν, ἀγαθοποιεῖ τὴν τύχην· ἐὰν δὲ εὑρεθῇ ἐν οἴκῳ μὲν ἀγαθοποιοῦ, ὁρίοις δὲ κακοποιοῦ, ἐλαττοῖ τὸ ἀγαθὸν τῆς τύχης· εἰ δὲ τύχοι <ἐν> οἴκῳ κακοποιοῦ καὶ ὁρίοις κακοποιοῦ, κακοῖ καὶ ἀμαυροῖ τὴν τύχην. ἡ οὖν τῶν ὁρίων ἐνέργεια ἐναλλοιοῖ τὴν τῶν ἀστέρων ἀποτε-[201]λεσματογραφίαν, καθὰ εἴρηται καὶ ἐπὶ τῶν προσώπων τῶν δεκανῶν. ὁ οὖν Πτολεμαῖος ἔν τισιν ὁρίοις οὐ συνήνεσε τοῖς Αἰγυπτίοις. διὸ ἠναγκάσθην καὶ τούτων ὑπόμνησιν ποιήσασθαι. συμβάλλονται δὲ τὰ ὅρια αὐτῶν ἐν τοῖς αὐτῶν ἀποτελέσμασι μόνοις. αἱ δὲ λαμπραὶ καὶ σκιαραὶ καὶ ἀμυδραὶ μοῖραι οὐ μικρὰν ἔχουσι τὴν ἐνέργειαν, εἴπερ οἱ ἀστέρες ἐν ταῖς λαμπραῖς μοίραις εὑρέθησαν τετυχηκότες. διὸ καὶ ταῦτα ἐν τοῖς ἔμπροσθεν ἠναγκάσθην καθυποτάξαι.*

---

1 duo capitula (4-21 ; 21-24) in unum contracta videntur
tit. om. S cf. Rhetor. *Catal.*, VIII, 3, p. 105, 38 ; Ptol., *Tetrab.*, I, 21 ; Bouché-Leclercq, p. 207 ss. 4 *ἥμισυ* L 6 *εἰρ.*] c. 47 *κατὰ τὴν ἄλλην* L 8 *ἔμπρ.*] haec nunc desunt *αὗται* SDM : *μετὰ δὲ τῶν ὁρίων αὗται* L 9 *ὁρίων*] *ζῳρίων* S
10 *ἄλλ. δὲ Κρ.* S : *καὶ ἄλλ. Κρ.* DM : *ἄλλ. Κρ.* L 10-11 *καὶ - πλανήτων* om. L 10 *καὶ* om. S 11 *τι* L : *τινες* S *ἐν* om. L
12-13 *καὶ - ἀγαθοποιοῦ* LS : om. DM *ἐν* om. L *πρὸς* S : *καὶ* L 12-13 *ἀγαθοποιοῖ* L 13 *ἐὰν* Boll : *εἰ* LS *ἐν* om. L 14 *ἢ*] *εἰ* L 14-15 *ἐλαττοῖ - κακοποιοῦ* L : om. SDM 14 suppl. 15 *τῇ τύχῃ* L 17 supra, cap. 47
19 *ἠναγκάσθη* LSDM : corr. 20 *συμβάλλονται* S : *-ντων* LDM *αὐτῶν* SDM : *αὐτοῦ* L *αὐτῶν* (alt.) om. D 21 *οἱ* L *τῶν λαμπρῶν κ. σκιαρῶν κ. ἀμυδρῶν μοιρῶν* LSDM
24 *ἔμπρ.*] haec nunc desunt *ἠναγκάσθην* L : *-σθη* SDM

### 50. *Περὶ τῆς τῶν ζῳδίων μελοθεσίας.*

Τὰς τοῦ ἀνθρώπου μελοθεσίας ὑπέταξεν, ὧν κυριεύει μελῶν ἕκαστον τῶν ζῳδίων καὶ τῶν ἀστέρων διὰ τὸ εἰδέναι ἡμᾶς τὰ σίνη καὶ τὰ πάθη τὰ γινόμενα τοῖς ἀνθρώποις ἀπὸ τῶν κλήρων τῆς τύχης καὶ τοῦ δαίμονος καὶ τοῦ σίνους καὶ τῶν κυρίων αὐτῶν· ἔνθεν γὰρ γνωρίζονται ὡς ἐπὶ τὸ πλεῖστον τὰ πάθη καὶ τὰ σίνη. εἰρηκὼς οὖν πάντα τὰ προειρημένα ἀκολούθως καὶ τὴν ἐπίλυσιν αὐτῶν σαφῶς ποιησάμενος ὑποτάξω κατὰ τὴν τῶν σχηματισμῶν ἐναργῆ δύναμιν.

### 51. *Περὶ τριγώνων καὶ τετραγώνων <καὶ ἑξαγώνων> καὶ διαμέτρων καὶ τῶν ἀσυνδέτων λόγον ἐχόντων πρὸς ἄλληλα ὡς ἐν τύπῳ διαμέτρων.*

Τῶν τριγώνων καὶ τετραγώνων καὶ ἑξαγώνων συσχηματισμῶν διαφοραὶ καθεστήκασιν. καὶ ἡ μὲν πρώτη καὶ μείζων ἐστὶν πασῶν ἡ μοιρικῶς λαμβανομένη κατὰ τὸν πρόχειρον κανόνα Πτολεμαίου, καθὼς ἐν τοῖς ἔμπροσθεν ἀπεδείξαμεν. ἡ δὲ δευτέρα ἐστὶν ἡ χρονική, ἣν Ἀντίγωνος καὶ Φνάης ὁ Αἰγύπτιος καὶ ἄλλοι τινὲς ὑπέταξαν καὶ ὠνόμασαν ἰσοσκελὲς τρίγωνον τῶν ἀναφορῶν τῶν ζῳδίων. ἡ δὲ τρίτη ἐστὶν ἡ ζῳδιακὴ ἢ κοινὴ καὶ καθολική, εἰς ἣν πάντες πλανώμεθα. πολλάκις γὰρ τοῦ Ἡλίου ὄντος ἐν Λέοντι περὶ μοῖραν α', τοῦ δὲ Διὸς ὄντος ἐν Τοξότῃ περὶ μοίρας ε' ἐφάνθη τὸ τρίγωνον Διὸς πρὸς Ἥλιον, οἱ δὲ ἀργοὶ πρὸς ἀλλήλους ἐσχηματίσθησαν. οὔτε γὰρ πλατικῶς ἐντὸς τῶν

---

1 tit. om. S  cf. Rhetor., *Catal.*, VIII, 3, p. 106, 4 ; cf. supra c. 44 et p. 166 s.  2 *Τ. μ. τῶν ἀνθρώπων* L  *ὑπέταξεν*] scil. Porph.  3-4 *τὸν ἀσινῆ* LSDM  4 *τοῦ κλήρου* DM  5 *σίνους* vix sanum ; cf. Val. pp. 109, 14 ss. ; 111, 18-20  *αὐτῶν* L : *αὐτοῦ* cet.  ὁ *γὰρ* L : *καὶ* SDM  7 *ἐπίλεξιν* S  8 *σαφῶς* om. DM  *ὑποτάξω*] excerptorem significat, cf. supra, p. 188  *κατὰ* LSDM : *καὶ* L  10-13 tit. om. S  cf. Rhetor., *Catal.*, VIII, 3, p. 106, 5 suppl. ex Rhet.  11 *ἀσυνδέτων* L : -*ον* DM  17 *ἔμπρ.*] c. 41  *ἀποδείξομεν* LSDM  18 *ἣν ἂν Ἀντ.* SDM  de Antigono vide Cumont, *Catal.*, VIII, 1, p. 242. 1  Phnaes laudatur etiam a Rhetorio, *Catal.*, VIII, 1, p. 238 ; cf. Cumont, *ibid.*, p. 238, 2 ; Bouché-Leclercq, *Astrol. gr.*, p. 178.  19-20 *καὶ τῶν ἀναφ.* L  20 *ἢ*] *ἡ* SDM  22 *Τ.* L : *τῷ Τ.* SDM  23 *ἐφάνθη* SDM : *ἐθαυμάσθη* L  24 *πλατυκῶς* DM

ϱκ' μοιρῶν καθεστήκασιν, οὔτε δὲ χρονικῶς ἐντὸς τῶν ϱκ' χρόνων τετυχήκασιν, οὔτε μὴν ἀναφορικῶς ἐντὸς τῶν ϱκ' μοιρῶν. + λοιπὸν οὖν ἀπὸ τῶν τῶν πλανητῶν κεφαλαίων γίνεται +. καλεῖται οὖν ἀεὶ τριγωνικὴ πλευρὰ ζῳδιακή, ἥτις πάλιν τὴν ἐνέργειαν ἔσχηκεν, ἐπειδὴ οὐ συνέσχεν αὐτὴν οὔτε ἡ μοιρική, οὔτε ἡ χρονική. ἐπεὶ οὖν τὴν μοιρικὴν τρίγωνον καὶ τετράγωνον καὶ ἑξάγωνον πλευρὰν ἐν τοῖς ἔμπροσθεν ὑπετάξαμεν διὰ τῶν κανόνων Πτολεμαίου, τήν τε ζῳδιακὴν νῦν ὑπεδείξαμεν, ἀναγκαῖον ᾠήθην ὑποτάξαι καὶ τὴν χρονικὴν δι' ὑποδείγματος. ὑπόθου εἶναι τὸν Ἥλιον ἐν Κριῷ ἐν τῷ δι' Ἀλεξανδρείας κλίματι μοίρ. α' καὶ τὸν Δία Λέοντι μοίρ. β', τὸν δὲ Ἄρη Λέοντι μοίρ. ε', ποιῶ οὕτως· ἀναφορὰ Κριοῦ χρόνοι κα' μ' καὶ ἀναφορὰ Ταύρου χρόνοι κε' Ο' <καὶ> ἀναφορὰ Διδύμων κη' κ' καὶ ἀναφορὰ Καρκίνου λα' μ', γίνονται χρόνοι τῶν τεσσάρων ζῳδίων ϙϛ' μ', ὑπολείπονται εἰς τοὺς ϱκ' χρόνοι ιγ' κ', <οὓς> εὑρίσκω περὶ τὰς ιαL' μοίρας τοῦ Λέοντος· διπλώσας γὰρ τοὺς λε' 202
χρόνους γίνονται χρόνοι ο', τούτους ἑνδεκάκις καὶ ἥμισυ ποιήσας εὑρίσκω χρόνους ωε', οὓς ποιῶ παρὰ τὸν ἑξήκοντα, γίνονται χρόνοι ιγ' κε'. μίγνυμι τὰ ϙϛ' μ', ὁμοῦ γίνονται χρόνοι ϱκ' ε'. εὑρίσκεται οὖν ἡ ιαL' μοῖρα τοῦ Λέοντος ἐν τῷ δι' Ἀλεξανδρείας κλίματι τρίγωνον ἰσοσκελὲς ἀποτελοῦσα πρὸς τὴν πρώτην μοῖραν τοῦ Κριοῦ. καὶ λέγομεν τὸν μὲν Δία ὑπὸ Ἡλίου θεωρεῖσθαι ζῳδιακῶς καὶ χρονικῶς, τὸν δὲ Ἄρη ζῳδιακῶς μόνον. ἐπειδὴ ὑπολείπονται τοῦ Λέοντος χρόνοι κα' λε', τούτους προστίθημι τῷ δευτέρῳ ἰσοσκελεῖ τριγώνῳ οὕτως· Λέοντος χρόνοι κα' λε', Παρθένου χρόνοι λη' κ', Ζυγοῦ χρόνοι λη' κ', ὁμοῦ γίνονται χρόνοι ϙη' ιε', ὑπολείπονται πάλιν εἰς τοὺς ϱκ' χρόνοι κα' με', τούτους εὑρίσκω περὶ τὰς ιηL' ζ' μοίρας τοῦ Σκορπίου· διπλώσας γὰρ τὴν ἀναφορὰν τοῦ

---

1 μοιρῶν LDM : χρόνων S 2-3 λοιπὸν - γίνεται : nota excerptoris videtur marginalis mire in textum recepta 3 τῶν τῶν S : τῶν DM : τούτων L γίγνεται DM 5 συνίσχεν L μερικὴ L 9 Κριῷ L : τῷ Κρ. SDM 10 β' SDM : ιβ' L 11 τὸν δὲ LS : καὶ τὸν DM Ἄρεα L ε' SDM : ιε' L ἀναφορὰ L : ἀναφοραὶ SDM 12 κε' Ο' scr. : κε' ϛ' LSDM suppl. 13 ἀναφοραὶ Καρκ. L 14 suppl. 16 ἑνδεκάκις Wolf : ἑνδεκάκι SDM : ἑνδεκάκη L 17 τῶν ἑξήντα L 18 τὰ ϙϛ' μ' LDM : τὰς ϱκ' μ' S 19 μοῖρα L : om. SDM 21 τὸν μὲν S : τὸν DM : εἶναι μὲν L 21-22 χ. κ. ζ. DM 22 Ἄρεα L 23 λε' SDM : με' L τούτοις L προστίθησι LSDM δευτέρῳ] βίῳ D 25 post Ζυγοῦ] χρόνοι om. D 26 χρόνους D με' L : λε' SDM 27 τὰς SDM : τῆς L

Σκορπίου, τουτέστι τοὺς λε' χρόνους, γίνονται χρόνοι ο', τούτους ἐπὶ τὰς ιη∠' ζ' ποιήσας εὑρίσκω χρόνους ,ατε', οὓς ποιῶ παρὰ τὸν ἑξήκοντα, γίνονται κα' με', οὕστινας προστίθημι τοῖς ϙη' ιε', γίνονται ὁμοῦ χρόνοι ρκ'. εὑρίσκονται οὖν αἱ ιη∠' ζ' μοῖραι τοῦ Σκορπίου ἐν τῷ δι' Ἀλεξανδρείας κλίματι τὸ δεύτερον τρίγωνον ἰσοσκελὲς ἀποτελοῦσαι πρὸς τὴν ια∠' μοῖραν τοῦ Λέοντος. πάλιν ἐπειδὴ ὑπολείπονται τοῦ Σκορπίου χρόνοι ιγ' ιε', τούτοις προστίθημι τὸ τρίτον ἰσοσκελὲς τρίγωνον· Σκορπίου χρόνοι ιγ' ιε', Τοξότου λα' μ', Αἰγοκέρωτος κη' κ', Ὑδροχόου κε', Ἰχθύων κα' μ', ὁμοῦ γίνονται ριθ' νε' χρόνοι, οἵτινες ἀποτελοῦσι τὸ τρίτον τρίγωνον ἰσοσκελὲς τοῦ ζῳδιακοῦ κύκλου. αἱ γὰρ ὑπολειφθεῖσαι ε' μοῖραι εἰς τοὺς ρκ' χρόνους ἐν τῷ πρώτῳ τριγώνῳ εἰσὶν ἀποτεταγμέναι. τῇ δὲ αὐτῇ μεθόδῳ καὶ τὰς ἑξαγώνους καὶ τετραγώνους πλευρὰς εὑρήσεις, αἵτινες καλοῦνται χρονικαί.

52. *Περὶ τῶν χρόνων τῶν κέντρων καὶ ἐπαναφορῶν καὶ ἀποκλιμάτων.*

Ὁ μὲν ὡροσκόπος δηλοῖ τὴν πρώτην ἡλικίαν, τὸ μεσουράνημα τὴν μέσην, ἡ δὲ δύσις τὴν τελευταίαν, τὸ δὲ ὑπὸ γῆν κέντρον τὸν θάνατον καὶ τὰς μετ' αὐτὸν γινομένας εὐδοξίας ἢ ἀδοξίας. καὶ πάλιν τὸ μὲν ἀπόκλιμα τοῦ ὡροσκόπου σημαίνει τὰς ὠδῖνας τῆς ἀποκυήσεως καὶ τὰ συμβαίνοντα τῇ μητρί, ὅτε ἦν κατὰ γαστρὸς ὁ γεννώμενος, ὁ δὲ ὡροσκόπος τὴν ἀπότεξιν καὶ τοὺς εὐθὺς μετ' αὐτὴν χρόνους, ἡ δὲ ἐπαναφορὰ τοῦ ὡροσκόπου τοὺς τελευταίους χρόνους τῆς πρώτης ἡλικίας. τοῦ δὲ μεσουρανήματος τὸ ἀπόκλιμα σημαίνει τοῦ μέσου χρόνου τοὺς πρώτους, τὸ δὲ μεσουράνημα τοῦ μέσου τοὺς μέσους, ἡ δὲ ἐπαναφορὰ τοὺς τελευταίους.

1 τουτέστι LS : τουτὶ M : om. D    χρόνους om. L
2 ἐπὶ D : παρὰ LSM    τὰς SDM : τὸν L    χιλίους
τριακοσίους ε' L : ,ατθ' SDM    οὓς scr. : ἃ SM : ἃς L : om. D
4 χρόνοι om. LS    6 ἀποτελοῦσαι L : -σα SDM
μοῖραν om. L    8 Τοξότης M    10 νε' om. DM    χρόνοι
om. L    αἵτινες L    11 ε' om. D    12 ἀποτεταγμέναι LS : ἀπο-
τετμημέναι DM    15 tit. om. S    τῶν[1] om. DM    τῶν[2] L :
καὶ DM    Hermetis Trismegisti est doctrina, cf. Rhet. *Catal.*, VIII,
3, p. 117, 35 ; Serap., *Catal.*, VIII, 4, p. 231, 24 ; Paul. Alex., D 3 ;
Boll, *Die Lebensalter*, *Neue Jahrbücher*, XXXI, 1913, p. 96 ; Cumont,
*Revue de philol.*, XLII, 1918, p. 69 ss.    17 τὴν om. D
19 αὐτῶν L

*τῆς δὲ δύσεως τὸ ἀπόκλιμα σημαίνει τοῦ τελευταίου χρόνου τοὺς πρώτους, ἡ δὲ δύσις αὐτὴ τοὺς μέσους, ἡ δὲ ἐπαναφορὰ τοὺς τελευταίους. τοῦ δὲ ἀντιμεσουρανοῦντος τὸ ἀπόκλιμα σημαίνει τὸν πρὸ τοῦ θανάτου χρόνον, τὸ δὲ ἀντιμεσουράνημα αὐτὸν τὸν θάνατον, ἡ δὲ ἐπαναφορὰ τὸν μετὰ τὸν θάνατον χρόνον. τούτων δὲ ἕκαστος τῶν ιβʹ τόπων λαγχάνει τὰς προανενηνεγμένας μοίρας εʹ καὶ τὰς ἐπαναφερομένας κεʹ, ἐὰν αἱ τετράγωνοι δι' ἐνενήκοντα μοιρῶν τυγχάνωσιν· ἐὰν δὲ ἀπὸ διαφόρων ἀριθμῶν, τὰς τῶν* 203 *τετραγώνων ἀριθμῶν μοίρας εἰς τὰ τρία τρίμοιρα μέριζε ἐξ ἴσου καὶ γνώσῃ ἕκαστον τόπον, πόσας ἔχει μοίρας τοῦ ζῳδιακοῦ. οἷον ἐὰν τὸ μεσουράνημα τοῦ ὡροσκόπου ἀπέχῃ μοίρας ϛʹ, ἡ δύσις ἀφέξει τοῦ μεσουρανήματος μοίρας πδʹ καὶ τὸ ὑπὸ γῆν κέντρον τοῦ δύνοντος μοίρας ϛʹ, καὶ ὁ ὡροσκόπος τοῦ ὑπὸ γῆν κέντρου μοίρας πδʹ. ἐξ ὧν οἰκείως ἑκάστῳ τόπῳ ἐπιμερίσας ἐξ ἴσου τὰς ἐπιβαλλούσας μοίρας ἀπὸ τῆς οἰκείας τετραγώνου, ἀπὸ τῆς ὡροσκοπούσης μοίρας καὶ τῶν προανενηνεγμένων εʹ μοιρῶν αὐτοῦ τὴν ἀρχὴν ποιησάμενος τῆς ἐκβολῆς ἐπὶ τὰ ἑπόμενα μαθήσῃ, ὡς ἔχει ἡ δωδεκάτροπος.*

53. *Ἐκ πόσων τρόπων γίνεται τὰ ἀποτελέσματα τῶν πλανητῶν.*

*Τὰ ἀποτελέσματα τῶν πλανητῶν γίνονται κατὰ τρόπους ἕνδεκα, καὶ πρῶτος μὲν ὑπάρχει, ὅταν ὁ πλανήτης ἵσταται ἐν ἀγαθῷ τόπῳ ἀπὸ τοῦ ὡροσκόπου εἴτε εἰς κέντρον, εἴτε εἰς τοὺς ἀκολούθους τόπους τῶν κέντρων, οὓς βλέπει ὁ ὡροσκόπος. δεύτερος δὲ ὅταν ὁ πλανήτης ὑπάρχῃ εἴς τινα τόπον τῆς ἰδίας ἀξίας, ἤγουν εἰς οἶκον, ἢ εἰς τρίγωνον, ἢ εἰς ὕψωμα, ἢ εἰς ὅρια, ἢ εἰς πρόσωπον ἢ τόπον ἐν ᾧ χαίρει. τρίτος δὲ ὑπάρχει, ὅταν μὴ ᾖ ὁ πλανήτης ὑποπεποδισμένος, ἀλλ' ὀρθοποδῶν. τέταρτος δὲ ὑπάρχει, ὅταν ὁ πλανήτης μὴ συνοδεύῃ ἑτέρῳ κακοποιῷ πλανήτῃ ἢ διαμετρῇ, ἢ τετραγωνίζῃ. πέμπτος τὸ μὴ φθάνειν αὐτὸν πλανήτην μὴ βλέπον-*

---

6 *ἑκάστου* L   *προανην.* LSDM   7 *δι'* SM : *διὰ* LD
